Βκ
Ξ 13
ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΤΟΥ

# ΞΑΝΘΟΠΟΥΛΟΥ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Αριθ. εισ. 152505

# ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ ΤΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ

ΠΕΡΙ ΣΥΣΤΑΣΕΩΣ ΤΟΥ ΣΕΒΑΣΜΙΟΥ ΟΙΚΟΥ ΤΗΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΖΩΟΔΟΧΟΥ ΠΗΓΗΣ, ΚΑΙ ΤΩΝ ΕΝ ΑΥΤΩ ΥΠΕΡΦΥΩΣ ΤΕΛΕΣΘΕΝΤΩΝ ΘΑΥΜΑΤΩΝ.

ΚΑΙ

## Ο ΒΙΟΣ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΚΛΗΜΕΝΤΟΣ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΩΝ, ΣΥΓΓΡΑΦΕΙΣ ΠΑΡΑ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΤΗΣ ΠΡΩΤΗΣ ΙΟΥΣΤΙΝΙΑΝΗΣ ΚΥΡΙΟΥ ΘΕΟΦΥΛΑΚΤΟΥ.

ΝΥΝ
ΠΡΩΤΟΝ ΤΥΠΟΙΣ ΕΚΔΟΘΕΝΤΑ.
ΕΠΙΣΤΑΣΙΑ
ΑΜΒΡΟΣΙΟΥ ΙΕΡΟΜΟΝΑΧ. τοῦ ΠΑΜΠΕΡΕΩΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη
ΕΥΛΟΓΙΟΣ ΚΟΥΡΙΛΑ

ΒΙ αλωβ. Η
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Νικηφόρος κάλλιστος ὁ Ξανθόπουλος ἱστορίαν ἐκκλησιαστικὴν, ἐκ τοῦ Εὐσεβίου, Σωκράτους, Σωζομένου, καὶ ἄλλων συνετάξατο εἰς εἴκοσι τρία βιβλία, ἐξ ὧν δέκα καὶ ὀκτὼ μόνον σώζονται, τυπωθέντα ἐν ἔτει 1553 ἐν παρισίοις, ὡς ἐκ τοῦ προοιμίου τῆς αὐτοῦ ἱστορίας δηλοῦται, ἀρχόμενος ἀπὸ τῆς χριστοῦ γεννήσεως, καὶ διηγούμενος τὰ μέχρι τῆς τοῦ Φωκᾶ καταστροφῆς. ὁμοίως καὶ ἄλλα τινὰ λυσιτελῆ, καὶ ὠφέλημα ὑπομνήματα τῇ ἐκκλησίᾳ κατέλιπε.

Μελέτιος ἀθηνῶν ἐκκλησιαστκῆ ἱστορίᾳ τόμῳ Γ'.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

## Λόγος διαλαμβάνων τὰ περὶ τῆς συστάσεως τοῦ σεβασμίου οἴκου τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου τῆς ἀειζώου πηγῆς· ἔτι δὲ καὶ, περὶ τῶν ἐν αὐτῷ τελεσθέντων ὑπερφυῶς θαυμάτων κατὰ μέρος διήγησιν, ἀφ' οὗ συνέστη μέχρι τῆς σήμερον. συγγραφεὶς παρὰ Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου.

Εἶτα, πηγῆς μὲν ἡδύ τι, καὶ ψυχρὸν πιεῖν προβαλλομένης τὸ ῥεῖθρον, οὐκ ἄν τις ἕλοιτ' ἀποσχέσθαι ὑφ' ἡλίῳ καὶ ταῦτα φλέγοντι τὴν ὁδὸν διανύων· ἀλλ' ἐθελήσει δὴ πάντως καὶ παρ' αὐτὴν ἐφιζῆσαι, καὶ πρὸς κόρον ἐμφορηθῆναι τοῦ ῥεύματος, καὶ ἀδεῶς τῷ ὕδατι χρήσασθαι, ἀναψύξαι τε τὴν ὄψιν, καὶ τὸν ἐκ τῆς ὁδοῦ κάματον ἐπαφεῖναι τῷ ῥείθρῳ, νεαρός τε αὖ, καὶ εὔζωνος ἐκεῖθεν ἀναχωρῆσαι· ἴσως δὲ καὶ παρὰ τὸ καλὸν τῆς πόας ἀνακλιθῆναι, καὶ ταῖς αὔραις, εἴπου προσβάλλοιεν ἐκπετάσαι τὸ πρόσωπον. καὶ ταῦτα τοῦτ' αὐτὸ ῥεύματος ἄλλως ὄντος καὶ διαῤῥέοντος. ἡμεῖς δὲ οὕτως ἀποσταίημεν τῆς ζωηφόρου, καὶ οὐρανίου πηγῆς, ἣν οὐκ ὄμβροι, καὶ χείμαρροι, καὶ ὑπόγειοι σήραγγες σχεδιάζουσιν, ἀλλ' ἡ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκ τῶν ἄνω ἡσυχῇ καταῤῥυεῖσα σαγὼν, τὸ ζῶν ὄντως καὶ ἀλλόμενον ὕδωρ, κατὰ πελάγη τὸ ῥεῖθρον αὐτῇ δαψιλὲς ἐπαφίησιν· ἢ ϗ ὑπὲρ ὠκεανοὺς ὅλους τῷ μεγέθει τῶν ἔργων κυκλοῖ τὸ περίγειον, ἀλλ' οὐχὶ τὰ εἰκότα καὶ ἡμεῖς αὐτῇ προσλαλήσομεν· καὶ ταῦτ' εἴπερ ποτε, κἂν τοῖς καθ' ἡμᾶς χρόνοις ἀναῤῥεύσῃ τὰ θαύματα, ϗ δαψιλέστερον ἀνασκιρτώσῃ τὸ ῥεῖθρον, οὐκ ἄρα δόξομεν εὖ τὸ δέον διαγινώσκειν, ϗ τὴν εὐεργέτιν κατ' ἰσχύν γε ἀμείβεσθαι, ἀπειροκαλίᾳ δὲ τῶν προσηκόντων ἀπαξιοῦν ἑαυτοὺς, καὶ τῶν οἰκείων ὄντως σπεύδειν ἀλλοτρίουν. ἀλλ' ἔλαθον τὸ τοῦ λόγου ἀνίπτοις χερσὶ, τῇ καθαρᾷ, ϗ διαυγεστάτῃ πηγῇ προσβαλὼν, καὶ δέος ὑφέρπει τὸν λογισμὸν, μή με πῦρ αὐτίκα ποθεν τῶν ῥείθρων ἀναθορὸν καταφλέξειε, ϗ τὸ καινὸν τῆς τόλμης ἐλέγξειε παράδοξος βάσανος· καί μοι τρόπον ἕτερον περισταίη τὸ εἰρημένον, ἄνθρακας εὑρηκέναι τὸν θησαυρὸν τῆς πηγῆς. σὺ δ' ἀλλὰ τὸν ἐμπεφυκότα ῥύπον ἐκπλύνασα δέσποινα, καὶ τὰς ἐν ἐμοὶ πλημμύρας τῶν αἰσχρῶν ἔργων ἀναξηράνασα τῇ σῇ δυναστείᾳ τῆς χάριτος, τόν τε ἄνικμον νοῦν ταῖς ἀρδείαις τῶν σῶν χαρίτων διϋδατίσασα, δίδου τὰ σὰ πελάγη πᾶσι μετοχετεύειν, ϗ διψῶσιν ὦσιν ἐπιῤῥέειν· σοῦ γὰρ ὡς ἐπ' ἀσφαλοῦς τῆς ἀγκύρας ἐξηρτημένος, τῷ ἀχανεῖ τῶν τεραστείων πελάγει κατατολμῶ. τοιγαροῦν ϗ πρόστηθι τοῦ λόγου τὸν κυβερνήτην λόγον ἐμοὶ ἐπιστήσασα, ὡς ἂν ναυαγίας ἐκτὸς, ϗ κινδύνων ἀλλότριος τῷ σῷ λιμένι ἐλλιμενίσαιμι. πῶς γὰρ ἂν ἐς τοσοῦτον τόλμης ἐλάσαιμι τῆς σῆς ἐπικουρίας ἐκτὸς, τοσοῦτον ἔργον διενεγκεῖν· κυάθῳ γὰρ ἄν τῳ γένοιτο τὸ πολὺ, καὶ ἄπειρον ἀναμετρήσασθαι πέλαγος, ϗ ὑπ' ἀριθμὸν αἱ σταγόνες τοῦ ὑετοῦ γένοιντο, ψάμμος τε ἂν μετρουμένη ἀνάσχοιτο, ϗ ὑπείξαι τῷ ἀριθμῷ, ἢ τοῖς σοῖς ἅπασι μέτρον ἐπιστῆσαι ἰσχύσει τις. θᾶττον γὰρ ἐκλεγομέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γομένῳ τὰ σὰ, ϗ πρὸς ἔνδειξιν τέτων ἕκαςον ἀποςομα-τίζται προθυμεμένῳ ὁ αἰὼν αὐτὸν ἐπιλίποι, ϗ εἰ σφόδρα πολὺς αὐτῷ ἐπιῤῥεύσειε, τόσον ὑπερβαίνει τὰ σὰ ϗ ὑπέρκειται, ὲ μόνον ἡμᾶς, ὲς ἀπόῤῥοιάτις συνίςησι, ϗ βραχεῖα θεότητος ἀποῤῥὼξ, ἀλλὰ ϗ ὲς ἡ πρώτη, ϗ μακρὰ τὲ φωτὸς ἐκείνε καταρδεύει ἀπόῤῥοια, τὰς ἀγγελικὰς λέγω πλημμύρας καὶ ἐρανίες, ὧν ἁπάντων ἀσυγκρίτως ὑπέρκεισαι· ὅπεγε ϗ χρόνε τις βραχυτάτε χάριτας ἐκλεγόμενος, ναρκήσει δὴ πάντως, ϗ ἀπαγορεύσας τὸ μέγεθος ἀνακηρύξει τῇ σιωπῇ· ἐμὴν, ἀλλ' ἡμῖν γε ὅσον ἐκ πελάγες ἀπολεξαμένοις ςαγόνα ὁ λόγος ἐκδιηγήσαιτο· ἐγὰρ τῇ φύσει τετ' ἐφικτὸν φανείη, ἅπασιν ἐπιςῆναι τοῖς σοῖς, ϗ ἀποχρῆναι λόγε δύναμιν ἐπαρκέσαι, μὴ ὅτι τοῖς πᾶσιν, ἀλλ' ἐδὲ πλείοσιν· ἀλλὰ τὸ τὲ λόγε ῥεῦμα, πρὸς ἀνάῤῥεν μοιχωρητέον, ϗ τὰ τῆς σῆς πηγῆς τὸ κατ' ἀρχὰς, ὅπως τε ϗ ὅθεν συνέςη διαληπτέον, ὡς ἂν καθ' ὁδὸν προϊὼν ὁλόγος, ϗ ἅπερ τὲ καθ' ἡμᾶς χρόνῳ παράδοξα διετέλεσας ἄριςα ἐπεξέλθοι καὶ διηγήσαιτο. ϗ δὴ λύω τὸν λόγον τῷ ἐρίῳ τῆς σῆς χάριτος πνεύματι ἐπαφείς. ἀλλὰ βαβαὶ πέλαγος ἕτερον ἡμῖν ὑπαντᾷ. δότε γάρ μοι μικρὸν ἐμφιλοχωρῆσαι τοῖς τῆς πόλεως προτερήμασιν, ἣν ὲ μᾶλλον τ' ἄλλα ἔχει κοσμεῖν πόλιν γε ἔσαν θεε, ἢ τὰ ἐντεῦνθεν ἀφθόνως πηγάζοντα, οἷάτινα ὁρμήματα ποταμε· ἀρκτέον δὲ ἔτω. Τίς ἐκ οἶδε τὸν τῆς οἰκεμένης ὀφθαλμὸν, τὴν Κωνςαντίνε φημὶ, τὸν ὀμφαλὸν τῆς γῆς, ἢ μᾶλλον εἰπεῖν τὴν καρδίαν ταύτης, τὸ καιριώτατον; ποιητὴς δ' ἂν εἶπε τὸ τῆς ἀρέρης ἔθαρ, τὸν κοινὸν ἑώας, ϗ ἑσπερίε λήξεως σύνδεσμον, ἣ σχεδὸν ἐρίζει μὲν περὶ κάλλες τῷ ἐρανῷ, ἁμιλλωμένα δ' ἐςιν ἐν ταῦθα μόνον βλέπειν κάλλος, ἅμα καὶ μέγεθος· ἐφ' ᾗ συῤῥεῖ μὲν τὰ τῶν ἄκρων ὅσα χρηςά. αὐτὴ δὲ πάλιν ὡς

Ἔπαινος τῆς πόλεως.

ἀπο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπὸ κέντρου, ἥτινος καρδίας ἀπανταχοῦ δίεισιν, ὅσα ϗ μήτηρ ταῖς ὑπ' αὐτὴν ἐπιχορηγοῦσα· ἡ θέσεως μὲν οὕτως ἔλαχεν εὐφυῶς, ϗ τῆς γῆς ἐπικαίρως ἵδρυται, ὡς εὐθὺς ἄντις ἰδὼν ἐρεῖ, ὡς ἄρ ἄξιον εἶναι ϗ τὴν πάντων ἀρχὴν ἀναζώσασθαι, ϗ τὸ κράτος κατὰ πάσης ἔχειν προσῆκον, καὶ ὡς ἴδιον τὸ τῆς ἀρχῆς προσκληρώσασθαι. τέτραπται μὲν γὰρ εὐθὺς πρὸς ἀνίσχοντα ἥλιον, προσαπαντῶσα δῆθεν αὐτῷ· ϗ προμήκης ἐξ ἠπείρου προθέει, τῷ πελάγει συμμιγνυμένη, τὸ φιλάνθρωπον ὡσανεὶ ἐπιδεικνυμένη καὶ χεῖρα ὥσπερ τοῖς καταίρειν πρὸς αὐτὴν βουλομένοις ὀρέγουσα, ϗ τοῖς κάλλεσιν αὐτοὺς ἑστιῶσα, ὅσα ὁρᾷν ἐστι, λιμένας τε ϗ ἀκτὰς ἐπὶ κύκλῳ πᾶσαν ἑαυτὴν περιβάλλει. ἐν ἀφθόνῳ δὴ τῇ θαλάττῃ κειμένη, ὡς ἐπίσης εἶναι δόξαι ϗ νῆσον ϗ ἤπειρον· νῆσοι δὲ αὐτὴν ὑπεξίστανται, καθάπερ δοῦλαι τοῦ σύνεγγυς εἶναι, βραχύ τι ἀναχωροῦσαι, καὶ τὰ παρ' ἑαυτῶν ἠρέμα εἰσφέρουσαι. κἀνταῦθα γῆ θάλασσα, ϗ πελάγη δή τινα διὰ στενοῦ πρὸς αὐτὴν ξυνθλιβόμενα, τὴν καλὴν ἅμιλλαν ἁμιλλῶνται, ποτέρας μᾶλλον ἡ πόλις εἴη, ϗ αὖθις ἑτέραν, ποί ἄποτε πλείω τῶν παρ' ἑαυτῇ χρηστῶν, τῇ βασιλίδι ὥσπερ δωροφορήσειεν. ἀθρῶς οὖν αὕτη τῶν ἐν τούτοις καλῶν ἀπολαύουσα, ὅσα πρόσεστι, φεύγει τῶν λυπηρῶν. οὕτω δ' ἔλαχεν ἀέρος ἐν καλῷ κεῖσθαι, ϗ τοσαύτην ἐστὶ συμμετρίαν τῷ ὑπὲρ κεφαλῆς ἀέρι ταύτης εὑρεῖν, ὡς κεκρᾶσθαι μὲν ἄριστα, ἐμπνεῖσθαι δὲ ἥδιστα, ϗ τῶν περὶ γῆν ἀέρων τοσοῦτον ὑπερτερεῖ, ὡς ἀφέστηκε γῆς τῇ φύσει. τῷ γεμὴν αἰθέρι, μὴ παντάπασιν ἐοικέναι, ϗ τοῦ πολλοῦ τοσοῦτόν ἐστιν ἐξαίρετος ὑπερέχων, ὡς ἐπιεικῶς συμβαίνει τούτου πάντας ἡττᾶσθαι. Τὶς δ' ἂν πεδίων, ϗ ὀρέων χάριτας αὐτῆς καταλέγοι, ἢ ποταμῶν χύσεις ἀερίων, ϗ ὑπογείων, ϗ ὑδάτων ἄφθονα ῥεύματα τὸ, τε πρὸς ἁπάσας, ϗ παντοίας ἐῤῥῶσθαι γονὰς,

ϗ τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τὸ μήτε ὄρειον εἶναι παντάπασι, καὶ τὸ ὕπτιον ἐπίπαν ἐκτρέπεσθαι, καὶ πρὸς ἅπασαν τοῦ κόσμου φύσιν συσχηματίζεσθαι; τί μὴ τὰ κρείττω λέγω, ὅτι καὶ λόγων ἔδαφος ταύτην ἔξεστι προσειπεῖν, καὶ προσήκειν γε τῶν ἀρίστων εἶναι ταύτῃ πατρίδι τε, καὶ καθηγεμόνι σοφίας ἁπάσης, καὶ τέχνης, καὶ γὰρ σοφίαν, καὶ τῶν ὄντων τὴν γνῶσιν, ἐντεῦθέν ἐστι πορίσασθαι, οἷς θεὸν διαγέγονεν εὐφημοῦσα· ὡς ἐντεῦθεν μὲν προχεῖσθαι τὸ εὐσεβεῖν, καὶ τ' ἄλλα τῶν ἀγαθῶν ἀναβλύζειν· καὶ εἴ τις φαίη ταύτην εἶναι καὶ τῶν ὁπουδήποτε γῆς ἀγαθῶν χορηγὸν, οὐκ ἂν αἰσχυνθείη. δείκνυται δὲ οἷς ἀνῆκε μὲν ναῶν τεμένη καὶ χάριτας, καὶ τ' ἄλλα τῶν οἰκοδομημάτων εἰς κάλλος, καὶ μέγεθος ἁβρῶς ἐξησκημένα, καὶ περιττῶς, φαιδρὰ φαιδρῶς ἁπανταχοῦ ταῖς ὄψεσιν ἀπαντῶντα καὶ συνανίσχοντα. Οἷς δὲ καὶ τὸν μέγαν τοῦτον ἀνέστησε δόμον, τὸν τῆς οἰκείας τῷ ὄντι σοφίας ἐπώνυμον, τὸν μάλα οἰκεῖον τῇ πόλει κόσμον, καὶ τῇ παρούσῃ ἐξουσίᾳ καὶ διαίτῃ προσήκοντα· μέγιστός τε γάρ ἐστι καὶ κάλλιστος τῶν ἁπανταχοῦ, ὄγκῳ καὶ τρυφῇ, ἔτι δὲ λελογισμένῃ σεμνότητι, κατὰ κράτος πάντας νικῶν. μέγας δὲ μεγαλωστὶ ἀνατεταμένος ἐκτρέχει, ἔρωτι ὡς εἰκάσαι, τοῦ κατασέρῳ συμμιγῆναι τῷ πόλῳ, κἀντεῦθεν δεικνύων, ὡς ἔργον ὄντως τοῦ κρείττονος· φιλονεικεῖ καὶ γὰρ πρὸς τὰς ὄψεις τῷ ὕψει, καὶ φεύγει ὥσπερ τὸν θεατὴν, ἐρωτικοῦ δίκην, τῷ μεγέθει ἀποκρυπτόμενος, καὶ μιμεῖται τὴν φύσιν, οὗ τῇ κλήσει σεμνύνεται, ὑποχωρῶν ἀεὶ τοσοῦτον, ὅσον καταλαμβάνεται, οὐ ῥαδίως τε ἀναχωρεῖν, ἀλλὰ μετὰ βίας, τὸν ἅπαξ ἑαλωκότα ἐῶν. ἀλλ' οὐδ' ἐμφιλοχωρεῖν ἐς πλεῖστον, τῇ πολλῇ ῥαστώνῃ παρέχων. ἀγχίστροφος δ' ἐφ' ἕκαστον ἡ τῆς θέας μεταβολὴ, τὸ νικῶν εὑρεῖν οὐδαμῇ ἔχουσα· τοσοῦτον καὶ γὰρ ἔργον ἐγείγερται, ὅσον ἐνθυμηθῆναι τὸν μήπω θεώμενον μανίας

Ἔπαινος τῆς ἁγίας σοφίας.

ἔργον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔργον εἶναι νομίσαι· ἰδόντα δὲ, φάναι, κρεῖττον πάντως ἢ κατὰ ἄνθρωπον· δηλοῖτε ὁρώμενος, ἧς τινος δὴ πόλεως καὶ ψηφίζεται, μὴ ἂν ἄλλης πόλεως τὸ ἀνάθεμα εἶναι· οὐδὲ γὰρ ἂν ἀρκέσαι τὴν φύσιν ἁπάσας τοσοῦτον ἔργον ἐνστήσασθαι, καί μοι δοκεῖν, εἴπου ποιηταῖς ἦν ἐντυχεῖν, τ' ἄλλα πάρεισι μυθολογήματα, ἐνταῦθ' ἀψευδεῖν, ὡς ἀτεχνῶς τῶν κρειττόνων ὄντως ἔργον καὶ φιλοτίμημα. ἐγὼ δ' ἂν ῥᾳδίως εἰπεῖν δοκῶμοι, ὡς τριάδος ἔργον τῆς ἀνωτάτω τὸ φιλοτέχνημα, ἵνα κἂν γῇ μετρίαν ἔχῃ διατριβήν, δεῆσαν ἴσως καὶ πρὸς ἡμᾶς ἐπιμίγνυσθαι. πλὴν τοσοῦτος ὢν, καλλίων ἐστὶν ἢ μείζων, τῷ ἐφ' ἅπασι κοσμίῳ τὸ ἀπέριττον ἐνδεικνύμενος· οὐχ ἧττον δὲ καὶ τὴν πόλιν, ἐκ πολλοῦ τοῖς καταίρουσι καὶ πόρρωθεν ἥκουσι προδεικνὺς, ἀντὶ πυρσῶν ἀρκῶν καὶ ὀρέων, ἡ ῥαστώνη καὶ τρυφῇ τῇ ἄλλῃ ἔνδον, οἷς καὶ λόγου κρεῖττον ὡς ἐρεῖν καλλωπίζεται, ὡς συμβαίνειν ἄπορον εἶναι θαυμάσαι, ποτέρῳ προέχει τῷ μεγέθει ἢ κάλλει· τριπλοῦς γάρ τις ἐστι, καὶ τὰ μὲν αὐτῷ κατάγειός ἐστι θέα, καὶ τ' ἀφανῆ κάλλει ἀμυθήτῳ κοσμῶν, τὸ δὲ πρὸς οὐρανὸν ἐκτρέχει, τῷ αἰθερίῳ χύματι ἐοικώς· μέση δὲ, ἣν ἀμηχανόντε λόγῳ ἐρεῖν, καὶ πρὸς ἀκρίβειαν ἐξευρεῖν· τοὺς δ' ἐξεπίτηδες δρόμους, καὶ περιδρόμους, γεωμέτραις ἴσως ἀποθέσθαι προσῆκον. οὐκ οἶδα εἰ μὴ κἀκείνοις τοσοῦτον ἔργον, ἐργῶδες διαμετρήσασθαι· παράδοξον δ' ἐφ' ἅπαντι συνδρομὴν ἐνταυθά τις ἴδοι, μήκους πρὸς πλάτος, καὶ βάθους πρὸς ὕψος αὐτῶν, ὥσπερ ἐξεπίτηδες συμπληρούντων τὸ τέμενος καὶ ἁμιλλωμένων αὐτῶν ἕκαστον, ἐντεῦθεν μᾶλλον οἷόν τ' ἐστὶ δειχθῆναι. Καὶ στοιχείων αὖθις ἔριν δήτινα ἀγαθὴν, ποτέρου κληθείη ὁ νεὼς διατεινομένων· αἰθὴρ μὲν γὰρ αὐτὸν ἐς ὕψος ἐκτρέχοντα οἰκειοῦται· γῆ δὲ αὐτοῦ ἀπρὶξ ἔχεται· ἀποπνεύσειε δ' ἂν καὶ ἀὴρ οἶμαι, εἴτι αὐτὸν ἀντισπάσειεν ἕτερον. δια-

χεῖται

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χεῖται δὲ καὶ τὸ ὕδωρ ἡδὺ, ὅτι ὄχημα ὁ τοσοῦτος αὐτῷ γίνεται, κἀντεῦθεν παρασύρων εἰσποιεῖται αὐτόν. Ὁ δὲ τὴν ἔριν ἴσως λύων αὐτοῖς, πᾶσιν ἐπίσης ἀνεὶς ἑαυτὸν, οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει, καὶ οὐδενὸς ἐστιν, ἐπ᾽ ἀστάτου σαλεύων, ὥσπερ τῇ τῶν στοιχείων φιλονεικίᾳ· κατὰ δὴ τὸν τῆς γῆς λόγον, ἐπ᾽ οὐδενὸς ἑδραζόμενος, καὶ τῷ φεύγειν ἁπανταχοῦ περιάγων τοὺς ἐραστὰς, καὶ τῷ δῆθεν κρατούμενος κλέπτεσθαι· ἔοικε δὲ οὗτος οἷον ἀμβρύνεσθαι, ὥσπερ ἢ τῇ παλάμῃ τοῦ θεοῦ ἑδραζόμενος, ἢ τῷ ἄνωθεν νεύματι, ὡς τὸ πᾶν συνεχόμενος, οὗ τὴν ἄλλην θέσιν, καὶ τὴν ἐν καλῷ τάξιν, καὶ ἁρμονίαν, ὡς ἐνόν γε διαλαβεῖν, ἔργον σπουδῆς ἑτέρας, καὶ κρείττονος, ἢ καθ᾽ ἡμᾶς· ὥπερ οὐκουν ἄντις ἁμάρτοι, ἢ στερέωμα στερεώματος, ἢ οὐρανοῦ ἐφαρμόσας εἶναι ἀκρόπολιν, καὶ ὅρον ἔσχατον τῶν καθ᾽ ἡμᾶς ἀγαθῶν προσειπὼν, οὐκ ἐν γῇ πεπηγότα, ἀλλ᾽ ἐξημμένον τῷ ὄντι τῇ ἄνωθεν ἐκείνῃ καὶ χρυσέᾳ σειρᾷ, ὡς ἔτι οὐρανοῦ προβάντα, χάσμα μέγα εἶναι, διαστάντος τε, καὶ διεῤῥωγότος· οὕτω δ᾽ ἔχει κάλλους καὶ μεγέθους τὸ ἔργον, ὥστε οὔτε ἄπορος λόγων οὕτως οὐδείς ἐστιν, ὡς μὴ ἂν ἐθέλειν θαυμάζειν ἰδὼν; οὔτ᾽ αὖθις λέγειν· οὕτω πρόχειρος ὡς ἐνδείξασθαι ῥάδιον εἶναι παντὶ, καὶ μὴ δυσχερὲς ἐγχειρῆσαι· ὁ μὲν δὴ λόγος οὕτω τοῖς τῆς πόλεως καταγοητεύσας καλοῖς, παρήνεγκε τοῦ σκοποῦ ἀθρόον ἐπεισπεσών· Ἀλλ᾽ ἐπὶ τὴν ὑπόσχεσιν πάλιν ἀναστρεπτέον τῆς διηγήσεως·[1] ταύτης δὴ τῆς βασιλευούσης τῶν πόλεων, οὐ πολλῷ τῶν χερσαίων τειχῶν ἄποθεν πρὸς θάλασσαν ἐπινεύοντα, ἔνθα τὸ ἀνέκαθεν αἱ χρύσειαι πύλαι πρὸς δόξαν ἦσαν τῇ βασιλίδι, τόπος τίς ἐστιν ὡσεὶ στάδιον ἓν διέχων τῆς πόλεως, ὅση πέφυκεν ἀρετὴν εἶναι γῆς κεκτημένος, ἐξ ἀρχαίων δ᾽ ἀνειμένος θεομήτορι, καὶ ὁ τόπος τοῦ ἀέρος ἐν καλῷ κείμενος, δένδροις μὲν παντοίοις κατάφυτος, πλατάνων δὲ τὸ πλεῖστον εὐ-

φυΐ-

1 Περιχωσιτῶν ἐν τομ. παλρ. Migne 147, στ. 72-73

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φυτὰ καὶ ἀναδρομῇ κυπαρίττων ὡραϊζόμενος· πόα ὖν αὐτὸν εὐθαλὴς, ἢ μαλακὴ περιέτρεχεν, ἄνθη μὲν παντοῖα προβαλλομένη, ἀποχρῶσα μὲν εὐςιβάδι, ἀρίςη δὲ καὶ βοσκήμασιν ἐφειμένη· πηγὴ δὲ ἀφθόνε καὶ διειδὲς νάματος ἐξεπίτηδες ἀνατρέχεσα, παρεῖχε μὲν τῷ τόπῳ μετὰ ῥαςώνης ὅσης τὸ χάριεν, εὐπρόσωπον δὲ καὶ τὸν χῶρον ἅμα καθίςα· ἐμὴν ἀλλὰ καὶ θεία χάρις ὕδατι ἐπιῤῥεύσασα, ἐνεργὸν αὐτίκα ἐδείκνυ, ἢ πρὸς γονὰς θαυμάτων ἐῤῥωμενέςερον· χρόνος ὁ μεταξὺ συχνὸς διεῤῥυηκὼς, ἢ τῷ μὲν ὕδατι ἰλὺς καταβραχεὶ ἀθροισθεῖσα τὴν πηγὴν ἀποκρύπτει, ἢ ἀργὴν πρὸς ἀνάδοσιν ὕδατος δείκνυσιν· ἀλλὰ ἢ τὸ συνηρεφὲς τῶν δένδρων ἀναφράξαν τὴν εἴσοδον, ὑπὸ συνεργῷ τῷ μέσῳ χρόνῳ, λήθῃ τὰ τῦ τόπυ δίδωσι, ἢ ἦν ὁ τόπος ἰλὺς δὴ ἢ μόνη συνεςηκεῖα, ἐπὶ νοτίδι βραχυτάτῃ γνωριζομένη. Λέων τοιγαρῦν ἐκεῖνος, ᾧ μακέλης μὲν τὸ ἐπώνυμον, μέγας δὲ ταῖς ἀληθείαις τὸ γνώρισμα, πρὶν ἢ θεῦ νεύσει τὸν βασίλειον κατακοσμῆσαι θρόνον, ἐς ἰδιώτας ἔτι ταττόμενος, ἢ τὸν χειρωνάκτην μετερχόμενος βίοτον, ἐκεῖσε πη διϊὼν, ἀνδρὶ περιτυγχάνει πλανωμένῳ πηρῷ, ἢ τῦτον τῆς πλάνης οἰκτείρας, ἦν δὲ ἄλλως ὁ ἀνὴρ ἀγαθὸς, ἢ τῷ συμπαθεῖ τῆς γνώμης, τὸν ἐν πᾶσι σώφρονα τὰ μάλιςα διαγράφων, τῦτυ λαβόμενος τῆς χειρὸς, ὅσα καὶ ὀφθαλμὸς ἐγίνετο τῷ πηρῷ, δι' ὁμαλῆς ἄγων, καὶ πᾶν εἴτι σκῶλον, ἢ λυπῦν ἐκτραχύτητος διωθέμενος, ἢ ὁ μὲν ἡγεῖτο, ὁ δ' εἵπετο· ὡς δὲ πολλὴν ὁδὸν ἦσαν ἐξηνυκότες, ἢ πλησίον τῦ τέλματος γένοιντο, ἐτρύχετο μὲν ἐπὶ μᾶλλον ὁ πηρὸς τῷ δίψει, ἢ καταπίπτειν ἦν ἕτοιμος, ἅτε τῦ ὑγρῦ ἐκτακέντος σύμπαντος: τῦτῳ, ὑπὸ σφοδροτάτῳ τῷ καύματι· ἐπέκειτο τοίνυν τῷ Λέοντι, ἢ συχνότερον αὐτὸν κατηνάγκαζεν, ἰάσασθαι μὲν ἐκείνῳ τὸ δίψος, ἢ τὸν ἐκ τῆς ὁδῦ κάματον βραχύτι διαναπαῦσαι,

Θαῦμα α.

ὑπὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑπὸ σκιάν τινα ἐφιζήσαντας· θεοῦ δὲ ἦν ἄρα τοῦτο τῆς ἀῤῥήτου γνώσεως ϗ σοφίας, εὐμηχάνως ἅπαν καθισαμένης, κἀκεῖνος οἴκτῳ τῷ πρὸς τὸν πένητα, τὸ βαθὺ τῆς ὕλης ἁπανταχοῦ περιήει, εἴπου ῥανίς τις ὕδατος ἀνεσκίρτα διερευνώμενος· ὡς δὲ πολλὰ καμὼν ὑπέστρεφεν ἄπρακτος, ἀγωνιῶν, ὅτι μὴ κἂν τούτῳ τῷ πένητι συνετέλεσεν, ὅς παραμυθίαν, φωνῆς ἀῤῥήτου παρὰ δόξαν φερομένης ὑψόθεν ἀκούει, οὐ χρεὼν σε Λέον ἀγωνιᾷν λεγούσης, ἐγγὺς γὰρ τὸ ὕδωρ ἰδού. ὁ δὲ τῷ ξένῳ καταπλαγεὶς τῆς φωνῆς, ἀνεζήτει πάλιν τὴν τοῦ ὕδατος εὕρεσιν, ἀλλ' ἀτεχνῶς καὶ οὗτος τυφλὸς ἦν, περιϊὼν μὲν ἐκεῖνο, ἥκιστα δὲ ὁρῶν, τό, τε γὰρ τῆς ὕλης ἀπεῖργεν ἀμφιλαφὲς, ϗ τὸ τέλμα συνεστὼς ἐς βάθος μέγα, τὸν ἄνδρα πόῤῥω ἀπήλαυνεν, ὅθεν ϗ ἀχθομένῳ ἐῴκει, εἰ ταυτὰ τῷ χειραγωγουμένῳ πάσχειν ἐξῆν, ἔνθεν τῷ νῷ συμβάλλων τὰ τῆς φωνῆς, ϗ τὸ ὕδωρ αὖθις ὅπου διερευνώμενος, πάλιν ἐν μεθέξει τῆς ἴσης φωνῆς γίνεται, ἡδύ τι καὶ ἀστεῖον ἄνωθεν ἐξηχούσης, τό, τε ὄνομα αὐτῷ προστιθείσης, ϗ τὸ μέλλον ὅσον οὔπω τῆς βασιλείας αὐτῷ ἐπισφραγιζούσης ἀξίωμα· ϗ Λέον φησὶν οὑτωσὶ βασιλεῦ, εἰσιὼν τὸ συνηρεφὲς τουτοῒ καὶ κατάσκιον, κἀκ τοῦ θολεροῦ τούτου ὕδατος ὑδρευσάμενος, ϗ τοῦ ἰλυώδους τουτουῒ τέλματος μετὰ χεῖρας λαβὼν, ἐπίχρισον μὲν τοὺς ὀφθαλμοὺς τῷ πηρῷ, ϗ τὸ δίψος ἀκέσασθαι προθυμήθητι. ἥτις δέ εἰμι, ἐκ πολλοῦ τὸν τόπον κληρωσαμένη, ϗ ἐπὶ τούτῳ δὴ γανυμένη, οὐ πολλῆς δεήσῃ γνῶναι ἐκ τοῦ αὐτίκα. σὺ δ' ἀλλ' ὡς ἂν ϗ τὰ πρός οἶκον μοι εὐτρεπίσῃς, ᾧ ἐπὶ μᾶλλον τὰς διατριβὰς ἕξω, ϗ τοὺς περιπάτους ἰδίους ποιήσομαι, δι' οὗ καὶ πᾶσιν αἰτουμένοις, ϗ τὸν τόπον πόθῳ καταλαμβάνουσιν, ἀδιστάκτου πίστεως ἐπιμιγνυμένης, ἐπαρκέσω πάντως, ϗ οὐδέν ἐστιν ἔμοιγε, ὃ ἀντιβλέψει τὸ παράπαν, ϗ μὴ θᾶττον εἴξει τῇ δυναστείᾳ, κἂν δαίμων εἴη,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κἂν νόσος Ἰατρῶν ἐν δευτέρῳ γνῶσιν τιθεῖσα, κἂν τι ἄλλο τέως, σὺν λόγῳ αἰτούμενον. πεισθεὶς οὖν αὐτίκα ὁ Λέων τῇ λαλιᾷ, ϗ τοῦ πηλοῦ λαβόμενος, ϗ τοῦ νάματος ὀλιγωροῦντι, ϗ τὸ πνεῦμα σβεννυμένῳ, φαίνεται τῷ τυφλῷ, ϗ χρίει μὲν ἐκείνῳ τοὺς ὀφθαλμοὺς τῷ πηλῷ κατὰ τὸν ἐκ γενετῆς ἐκεῖνον τυφλὸν, εἶτα ϗ τοῦ ὕδατος μεταχόντι, ϗ τοὺς ὀφθαλμοὺς ἀνατρίψαντι· βαβαὶ τῶν σῶν μεγαλείων θεογεννήτρια, Σιλωὰμ ἐκείνῳ, τὸ θολερὸν τοῦ ὕδατος, ϗ ὁ πηλὸς γίνεται· εὐθὺς γὰρ ὁρᾷ, ϗ τὸ χρόνιον ἀποτίθεται σκότος, παραδόξοις ὄμμασι τῷ ἡλίῳ ἐνατενίζων, μᾶλλον δὲ τῇ ἰλύϊ, ϗ τῷ πηλῷ· ὥσπερ γὰρ ὁ ἥλιος πρῶτον διδοὺς τῇ ὄψει τὸ φῶς, πρῶτος ϗ παρὰ ταύτης ὁρᾶται· οὕτω νῦν φωτὸς χορηγὸς γενόμενος ὁ πηλὸς, πρῶτος ὁρᾶται τῷ ἀναβλέψαντι, ϗ τοῦτο δὴ τὸ παράδοξον· ὃ γὰρ ἐῤῥωμένῃ τῇ ὄψει ἐστὶ πολέμιον, τοῦτο νῦν τὴν ἕξιν ἀποβαλλομένῃ, σωτήριον γίνεται· τί τοῦτο τοῦ κατὰ τὸν Σιλωὰμ θαύματος γένοιτ᾽ ἂν ἀτιμότερον· πτύσμα γὰρ ἐκεῖ, ϗ πηλὸς, εἰς ὀφθαλμῶν διάπλασιν γίνεται τῷ ἐκ γενετῆς, κἀνταῦθα φωνὴ καὶ πηλὸς τὸ ἶσον γνωρίζεται πράσσοντα, εἴπερ ἐκ στόματος ἄμφω, ϗ πτύσμα ϗ ἡ φωνή· πλὴν οὐδὲν τὸ καινὸν, εἰ ταυτὰ τῇ μητρὶ πράσσειν ὁ ὑπὲρ φύσιν χαρίζεται, καθάπαξ ἐκεῖνον ὑπερφυῶς μιμουμένῃ· ἐγὼ δ᾽ ἄν μοι δοκῶ, ταυτὸν ἀμφοτέρους τόν τε πηρὸν λέγω, καὶ τὸν χειραγωγήσαντα Λέοντα, παθεῖν τῷ Σαοὺλ· ὁ μὲν γὰρ τῇ τῶν ὄνων ἐρεύνῃ, τὸ βασίλειον περιτίθεται· τῶν δ᾽ ὁ μὲν τῷ δίψει τὴν βασιλεύουσαν πορίζεται τῶν αἰσθήσεων· ὁ δὲ λέων τῷ συμπαθεῖ τῆς γνώμης, τὴν βασίλειον ἀναβαίνει περιωπὴν, βασιλείαν κτησάμενος φιλανθρωπίας ἀντίδοσιν. τοσοῦτον μεγαλοδωρεᾶς τῇ βασιλίδι περίεστιν, ὡς μικρὰ αἰτουμένην, μᾶλλον ἢ οὐδὲν, τὰ μεγάλα χαρίζεσθαι, ϗ ἀντιδιδόναι τῷ φιλανθρώπῳ, τῶν παρ᾽ ἡμῖν μεγίστων



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γίστων τὸ κράτιστον. Λέων γεμὴν ὁ μέγας ἐς ὕστερον κατὰ τὴν τῆς θεομήτορος πρόρρησιν τῷ βασιλείῳ θρόνῳ ἐνιδρυθεὶς, αὐτίκα τὴν εὐεργέτιν ἀμείβεται· καὶ δὴ τὸν τόπον ἐκεῖνον τῆς ἰλύος ἀνακαθάρας, καὶ τῆς πηγῆς ἀναστομώσας τὴν φλέβα, ἐς πολὺ καὶ μέγα τι βάθους ἰὼν ἐκκαθαίρει μὲν αὐτῆς ἅπαν νόθον, καὶ περιττὸν, περὶ κύκλῳ δὲ ταύτην ἱκανῶς διαφράξας οἰκοδομίᾳ στερρᾷ, νεὼν τῇ θεομήτορι ἀνιστᾷ, ἐπ' αὐτὴν δὴ τὴν πηγὴν περιστήσας τὸν ὄροφον, ὁ δὲ ἐστιν οὐχ ἧττον ἐς γῆν βαθυνόμενος, ἢ ὑπὲρ γῆν τὸ ὁρώμενον· ἄνεισι μὲν γὰρ ἐξ αὐτῶν οἶμαι τῆς γῆς τῶν κρηπίδων τὰ κτίσματα, ἐν τετραγώνῳ δῆθεν ξυγκείμενα, ἑτερομήκη δὲ τὴν θέσιν καθιστῶντα τῷ δόμῳ, ὡς συμβαίνειν τριτημόριά που εἶναι τῷ μήκει τὸ εὖρος· ἀλλ' ἀποίκιλος μὲν ἡ οἰκοδομία τοῖς τοίχοις, ἕως τῆς γῆς ὑπερκύψασι, μικρὸν δὲ ὑπερφανεῖσι τῆς γῆς αὐτίκα ποικίλεται· στοὰς γὰρ τέσσαρας διαγράφουσιν, ὧν αἱ μὲν δύο, πρὸς ἀνίσχοντα καὶ δύοντά που τὸν ἥλιον, κατὰ κενοῦ τοῦ ἀέρος μετεωρίζονται· αἱ δ' ἐπὶ θάτερα τούτων, τοῖς γειτνιῶσιν ἐναπερειδόμεναι τοίχοις, συνεξυφαίνονται, καὶ τελευτήσασιν ἐπικάθηνται. οἰκοδομία δέ τις ἐφύπερθεν τῶν ἀψίδων κύκλῳ περιτρέχει τὸν δόμον, ἀνεσταλμένη κατὰ βραχὺ, καὶ στοαῖς τισιν ἐπίσης διαλιπούσαις ἐρείδεται. ἐς ἀγωγὴν δὲ φώτων ἀποκεκλήρωται τὸ διάλειμμα, ἐξ ὧν καὶ φῶς ἄπειρον ἐπεισρεῖ τῇ πηγῇ, καὶ περιουσία αἴγλης, ἐν μεγάλῳ, καὶ πολλῷ τῷ φωτὶ καταστράπτει τὸν χῶρον. ἐπὶ τούτοις ἡ θόλος μετεωρίζεται, ὄροφος ἐν σφαιροειδεῖ μεταρσίῳ ἠρέμα ἐς βάθος ἐπικυρτούμενος· κόσμου δὲ τοσοῦτον τούτῳ περίεστιν, ὡς εἰκάσαι τῷ οὐρανῷ, περιλαμπομένῳ καὶ ἀνθοῦντι πυρί. τοῦ γεμὴν ἀδύτου τὸ ἄνωθεν, καὶ τὸ ὑπὲρ αὐτὴν δὴ τὴν πηγὴν οἰκοδόμημα ἕτερον διαφράττει, ἐπιπέδῳ θόλῳ κοσμούμενον ὡς ἂν ἀποπληροίη τῷ ἑτερομήκει τὸ

Περὶ τοῦ νεῶ τῆς πηγῆς καὶ ἔκφρασις αὐτοῦ.

κόσμι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κόσμιον. καίτινας δὲ βαθμίδας ἐναρμοσάμενος ὁ τεχνίτης, κατὰ πέντε που οἶμαι καὶ εἴκοσιν ἑκατέρωθεν, εὐμαρῆ τὴν κάθοδον ἐς αὐτὴν τὴν πηγὴν ὑπανέδειξεν, ἐπὶ μαρμάροις συγκαταβαίνουσιν· ἐντιθεῖσί τι καὶ κόσμου καὶ χειραγωγοῦσι τοὺς κατιόντας, ἵνα μὴ ταῖς νοτίσι διολισθαίνωσιν. ἡ μὲν οὖν ἐστὶν ὑπτία, θατέρα δὲ καὶ τοῦ σκολιοῦ συμμετέχουσα, χρυσῷ μὲν ἀκιβδήλῳ ἡ ὀροφὴ πᾶσα, μᾶλλον δὲ ἡ κεφαλὴ τῷ νεῷ, κατακόρως ἐγκέκρυπται· τῷ ὑέλῳ ἐπιπολάζοντι διαφαινομένῳ, καὶ αὐγὴ μαρμάρων, ἃ ὁ τοῖχος ἠμφίεσται, ἁπανταχοῦ περιαστράπτει τὸ τέμενος. ἡ δὲ πηγὴ σχεδὸν, κατὰ μέσον ἐστὶ τὸν χῶρον· μικρὸν γάρ τι τοῦ μέσου εἶναι ἀναχωρεῖ· εὖρος ὀργυιῶν που δύο διακατέχουσα, ἀένναα ψυχρά τε, καὶ διειδῆ προβαλλομένη τὰ ῥεῖθρα· μαρμάρων δὲ οἰκοδομὴ ἐντετραγώνῳ αὐτὴν ἀποφράττει, στόμιον ἱκανὸν ἀνιεῖσα, τοῖς βουλομένοις ὑδρεύσασθαι. τοῦ δ' αὖ τετραγώνου ἐξ ἑκατέρωθεν, ἴσαι ταῖς προειρημέναις βαθμῖδες ἐγείρονται, αἱ μὲν ἐς ἥμισυ σφαίρας σχηματιζόμεναι, ἄλλαι δὲ καὶ πρὸς τὸ τετράγωνον ἀποτελευτῶσαι, κατὰ ἓξ ἑκατέρωθεν, εἰς τὸ ἄνω τῆς πηγῆς τοὺς βουλομένους διαβιβάζουσαι, καὶ μετρία δέ τις φιάλη πρὸ τοῦ στόματος ἕστηκε τῆς πηγῆς, βραχὺ κοιλαινομένη, ὡς αὐτίκα μάλα τὴν ὑδρίαν ἐπιδεξομένη, ἐς ὀπάστινας διατετρημένη, ὡς ἂν τοῖς ἐκρέουσι χώραν χαρίζηται· κοῖλον δέ τι ἕτερον ἐπ' ἐδάφους αὐτὴν ὑποδέχεται πρὸ τῆς ἐπιῤῥοῆς τῆς πηγῆς, στενοχωρουμένῳ δὴ τῷ ὑγρῷ ἁπανταχοῦ παρέχον διέξοδον· δίεισι δὲ ὁ ὀχετὸς κατὰ μέσον τὸν δόμον, τὸ ἄδυτον διαιρῶν, ἐμπεφραγμένος παντάπασιν· ὀπὰς δὲ δύο ἀνοίγνυσιν, ἡ μὲν κυκλωτερεῖ λίθῳ ἐνηρμοσμένη κατὰ μέσον τὸν δόμον, ἡ δ' ἑτέρα γειτνιάζει πρὸς τ' ἄδυτα, ἑτερόμηκες περικειμένη τὸ ἔλυτρον· ἀφ' οὗ καὶ τὸν ἱερὸν πηλὸν, καὶ καθάρσιον δοιδυκοειδεῖ τινι πτύῳ ἀῤῥύονται, οἷς ταῦτ' ἐπιτέ-

τραπ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τραπται ὑπεργεῖν· κέκραται δὲ καὶ τὸ ὕδωρ ἐς παράδοξον ἕνωσιν· τοῦτε γὰρ ψυχρὸν παντάπασιν εἶναι ἐνδεῖ, ϗ τοῦ χλιαρὸν εἶναι πάλιν ἀφίσαται, ὡς συμβαίνειν παντοῖον ϗ ὅσον γίνεσθαι τοῖς ἐθέλουσι, κατὰ τὸ τῷ μάννα ᾀδόμενον. ἔστι δὲ τὰ μάλιστα διειδές τε καὶ κοῦφον ταῖς τοῦ πνεύματος αὔραις μετεωριζόμενον· ϗ τὸ δὴ πάντων ὑπερκείμενον, ὅτι τῶν ἐναντίων εἶναι θεραπείαν τὸ ὕδωρ τοῦτο συμβαίνει· ὧν γὰρ ἡ τέχνη νοσημάτων ἀπεῖπε τὴν περὶ τὸ ψυχρὸν ἀσχολίαν, τούτων εὕροις ἂν ὡς θᾶττον τούτῳ τὴν ἴασιν. ἀλλ᾽ ὅμως μικροῦ διέλαθεν βούλομαι διεξιέναι ἀξιοθέατον ὄν, ἔχει μὲν γὰρ πᾶς ὁ χῶρος εἰκόνας παντοίας, ἐξαίσι᾽ ἄττα τῶν τοῦ Χριστοῦ, ϗ τῆς θεομήτορος ἐνηρμοσμένας ψηφῖσι. φαίης ἂν τοῖς πλάσμασι καὶ τὴν φύσιν αὐτὴν ὑστερεῖν. τῇ γεμὴν μέσῃ θόλῳ, ᾗ ὄροφος καθίσταται τῷ νεῷ, αὐτὴν ὁ πλάστης τὴν ζωηφόρον πηγὴν χερσὶν ἰδίαις ἀρίστως διέγραψε, τὸ πάγκαλον βρέφος, ϗ προαιώνιον, ὡς διειδές τι ϗ πότιμον ὕδωρ, ζῶν καὶ ἀλλόμενον, τῶν κόλπων ἀναμορμύρουσαν, εἰκάσαις ἂν νεφέλην αὐτὴν κατιδὼν, ἠρέμα ὡς ὑετὸν ἀψοφητὶ τὸ ὕδωρ ἄνωθεν καταρρέουσαν, κἀκεῖθεν τῷ ὕδατι ἀτενίζουσαν ἐνεργὸν αὐτὸ καθιστᾶν, ἐπωάζουσαν ὡς ἄν τις εἴποι, ϗ γόνιμον παριστάνουσαν, ἣν ϗ πνεῦμα ἔγωγε τῷ παρόντι φαίην ἂν θεοῦ, τῷ ὕδατι ἐπινήχεσθαι· ϗ γὰρ ἀμέλει τοῦ κατέναντι τῆς μορφῆς ὀμφαλοῦ, ϗ τὸ ὕδωρ τῆς ῥοῆς ἐπιπωματίζοντος διαρθέντος τῆς σκιᾶς ἀντανακλωμένης τῷ ὕδατι, ἴδοις ἂν ὡς ἐν κατόπτρῳ, μετὰ τοῦ ζῶντος νάματος, αὐτὴν τὴν θεομήτορα ἐπινηχομένην, ϗ μαρμαρυγὰς ὑπερφυεῖς ἀφιεῖσαν, ὡς συμβαίνειν θαυμάζειν, ποτέρῳ μᾶλλον πιστευτέον εἶναι, ἆρα ἐκ τοῦ ὕδατος τὸν τύπον ἄνωθεν διαγράφεσθαι, τῷ ἡλίῳ κάτωθεν τῷ νοητῷ προσβάλλοντι ἀποπαλλόμενον τὸ παραδοξότατον, κἂν τῇ ὀροφῇ διασώζεσθαι, ὃ ϗ μᾶλλον δίκαιον ἐκ

λογί-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λογίζεσθαι, ἢ ἄνωθεν τὸν τύπον προσβάλλειν τῷ ὕδατι, ὡς ἐν κατόπτρῳ ἀντανακλώμενον. ἀλλὰ τοιοῦτον μὲν τὸ τέμενος ὁ Λέων τῇ θεομήτορι ἀνιστᾷ, πηγὴν τὸν χῶρον κατονομάσας, ἐξαίσιον οἷον ἰδόντι, κρεῖττον δὲ ἢ λέγειν, καὶ τοῦτον τὸν τρόπον ἡ ἐν τῷ ὕδατι χάρις ἐξέλαμψεν. ἐς ὕστερον δὲ καί τινες προσθήκαις οἰκοδομημάτων τὸν χῶρον ἐσέμνυναν, κάλλος περιεργότερον περιθέμενοι, καὶ ὡραιοτέραν τῷ τόπῳ ἐπαγαγόντες εὐπρέπειαν. Καθὰ δῆτα καὶ Ἰουστινιανὸς ὕστερον, τὸν μέγιστον, καὶ περικαλλῆ δόμον τῇ θεοτόκῳ ἀνήγειρε, τῆς εὐεργεσίας αὐτὴν ἀμειβόμενος· τὰ περὶ τὴν κύστιν γὰρ οὗτος ὁ βασιλεὺς νοσήσας πικρότατα, ταχυτέρας ἔτυχε τῆς ἰάσεως· τῆς γὰρ κατὰ φύσιν ἐκροίας ἀναχαιτιζομένης αὐτῷ, ὑπὸ σκληραῖς ἀγωγαῖς, καὶ διαίτῃ πονηρᾷ, καὶ φαύλῃ· ταύταις γὰρ ἐπαιδαγώγει τὸ σῶμα, λίθου ἐξ ὑποστάσεως μοχθηρᾶς ἐνσκιῤῥωθέντος τοῖς ἔσωθεν, καὶ τὰ περὶ τὸν ἀγωγὸν ἐμφραγνῦντος, ἡνίκα πρὸς κατάῤῥουν τὸ οὖρον ἀνηρεθίζετο, τοῦ ῥεύματος περὶ τὴν κατὰ φύσιν πορείαν χρονίζοντος, συντριβὴς ὁ κρατῶν ταῖς ὀδύναις ἐγίνετο. ὅθεν τὸ πάθος κατ' ὀλίγον ἀκμάσαν ὑπέρτερον τῆς ἀπὸ τῶν ἰατρῶν ἐπικουρίας ἦν, καὶ συχνὸς δῆτα χρόνος ταύταις ταῖς ὀδύναις ἐτρίβη τῷ βασιλεῖ, ὡς ἀπολελειμμένον μὲν ἐκεῖνον γενέσθαι πρὸς ἰατρῶν, καὶ αὐτὸν ἀπ' ἐλπίδος τοῦ βιῶναι γεγενημένον δόκησιν πᾶσι παρασχέσθαι, ὡς ἀποθάνοι. οὕτως οὖν ἔχοντι τουτῳΐ, καὶ ταῖς τῶν ἔνδον ῥευμάτων κλυδωνιζομένῳ καταῤῥοαῖς, καὶ χαλεπῶς τοῖς στρώμασιν ἔχοντι, περὶ μέσας νύκτας ἦχος φωνῆς ἤκουσαι μήπω πρότερον τοιαύτης ἁρμονίας ἀπολελαυκότι, οὐδυνατὸν ὑπαγορευούσης ὦ βασιλεῦ, σὲ τὴν προτέραν ἕξιν ἀναλαβεῖν, εἰμὴ κατακορὴς τοῦ ἐμοῦ ὕδατος γένοιο· ὁ δὲ μήτε δὴ τὸν φωνήσαντα, ὅς τις εἴη, διεγνωκώς, μήτε μὴν τὸν τόπον, καθ' ὃν τὸ ὕδωρ ἐκ τοῦ ῥᾶστου διαγνῶναι

Θαῦμα β'.

δεδυνη-

δεδυνημένος, ἀχθομένῳ ἐῴκει, ὅτι δὴ μὴ ἀκριβῶς διερευνήσοι τὸ ἄκεσμα· ϗ δι᾽ ἑτέρας αὖθις νυκτὸς, ἐγρηγορότι πρὸς ὄρθρον τῷ βασιλεῖ, ἐμφανῶς αὐτῷ ἡ θεομήτωρ κατὰ σχῆμα σεμνῶς ἔχουσα, ϗ κοσμίως, παρίςατο, καί φησιν· αὐτίκα τῆς κλίνης διαναςὰς, παρὰ τὴν ἐμὴν πηγὴν πέμψον, ϗ τοῦ ἐκεῖθεν ὕδατος ὅσον τάχος μεταλαβὼν, ἀποτρίψεις αὐτίκα μάλα τὴν νόσον, ϗ τοσοῦτον τῆς ὑγείας μετέςαι σοι, ὡς ἐντεῦθέν σοὶ δοκοῦν ἔςαι, ῥᾷονί ἢ πρότερον εἶναι· τοίνυν καὶ διεγερθεὶς, ἐπὶ τὸ ὕδωρ προῆγε τὴν πίςιν, πᾶσαν τέχνην ἐν δευτέρῳ τιθεὶς, ϗ οὐχ ἁμαρτάνει δόξης τῆς ἀληθοῦς· κεκόμιςο μὲν γὰρ ἐς ὅσον τάχους τὸ ὕδωρ, χανδὸν δὲ ὁ βασιλεὺς τῷ πόθῳ, τούτου μετέσπα· τὸ δὲ πάθος εὐθὺς ἐχώρει, ϗ τὸ πονηρὸν ἀπεδίδρασκεν ἐκεῖνο ῥεῦμα, ταῖς ἐπιῤῥοίαις τῆς θεομήτορος βιασθέν· ὁ μὲν γὰρ λίθος ἐσφενδονᾶτο τῶν ἔσωθεν, τῷ πηγάσαντι ἐξ ἀκροτόμου ὕδατι, μᾶλλον δὲ τῷ ἄνευ χειρὸς τμηθέντι λίθῳ συντριβόμενος καὶ διαλυόμενος, ϗ ὁ κρατῶν, ὑγιὴς ἀνεδείκνυτο. τοίνυν καὶ τὴν εὐεργέτιν προσαμειβόμενος, ἅτε καὶ αὐτῷ τὴν βασίλειον περιποιησαμένην ἀρχὴν, τὸν νῦν ὁρώμενον ὑπερμεγέθη δόμον, ἐξ αὐτῶν κρηπίδων ἀνίςησι, παρ᾽ αὐτὰ τὰ κράσπεδα τοῦ πρώην νεὼ, ςήλη μικρὰ, μεγίςης εὐεργεσίας ὑπόδειγμα, κήρυξ εὐεργεσίας, ὡς ἄν τις εἴπη, ϗ σιγῶν διαπρύσιος. πλὴν ἀλλὰ καὶ τὰ τοῦ παρόντος τεμένους διεξιέναι, ὁποῖον μεγέθει καὶ κάλλει, φιλοτίμῳ τε χειρὶ πρὸς τοῦ βασιλέως ἐξεργασθὲν παρήσειν δοκῶ μοι, ἅμα μὲν τῷ πολλῷ καὶ νεωτερίζοντι χρόνῳ κατασεισθὲν, ϗ μηδὲ ὁποῖον τὰ πρῶτα γέγονε θεωρούμενον, ἅτε ὑπὸ σεισμῶν διαφόρων κατεργασθὲν, ϗ αὖθις χερσὶ, ϗ δαπάναις βασιλείοις ἀνεγερθὲν, ϗ πάλιν ἐῤῥειπωθὲν, ὡς κατὰ καιρόν μοι λελέξεται. παρίτω τοίνυν ὁ ἐκ Καισαρείας Προκόπιος, ϗ τὰ κατὰ τὸ παρὸν τέμενος διαζωγραφείτω

*Περὶ τοῦ μεγάλου τῆς πηγῆς νεώ.*



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φείτω τῷ λόγῳ, παρὼν δηλαδὴ, καὶ ὄψεσιν οἰκείαις τοῦτο ἐξακριβούμενος, ὅ,τι ῥῆτα πρὸς τοῦ βασιλέως ἀνῳκοδόμητο. λέγει δὲ οὕτως, ἀρκτέον δὴ ἀπὸ τῶν τῆς Θεοτόκου Μαρίας νεῶν. πολλὰς τοίνυν ἐκκλησίας Ἰουστινιανὸς ὁ βασιλεὺς τῇ Θεοτόκῳ ἐδείματο, πανταχόθι τῆς ῥωμαίων ἀρχῆς, οὕτω δὴ μεγαλοπρεπεῖς τε καὶ παμμεγέθεις, καὶ χρημάτων ὄγκῳ ἐξεργασθείσας ὑπερφυεῖ, ὥστε ἤν τις αὐτῶν μίαν κατὰ μόνας θεῷτο, εἰκάσειεν ἂν τοῦτο αὐτῷ μόνον εἰργάσθαι τὸ ἔργον, καὶ περὶ τοῦτο ἠσχολημένον ἅπαντα τῆς βασιλείας κατατρίψαι τὸν χρόνον. ἀλλὰ νῦν ὅπερ εἶπον, τὰ ἐπὶ τοῦ Βυζαντίου ἱεράμοι γεγράψεται. τὸν μὲν οὖν ἕνα τῆς Θεοτόκου νεὼν ᾠκοδομήσατο πρὸ τοῦ περιβόλου, ἐν χώρῳ καλουμένῳ Βλαχέρναις, καὶ τὰ ἑξῆς. ἕτερον δὲ ἱερὸν αὐτῇ ἐν χώρῳ καλουμένῳ Πηγῇ ἀνέθηκε, τῆς νόσου αὐτὴν ἀμειβόμενος, ἔνθα ἐστι δάσος κυπαρίσσων ἀμφιλαφὲς, λειμὼν ἐν ἁπαλαῖς ταῖς ἀρούραις τεθηλὼς ἄνθεσι, παράδεισος εὐφορῶν τὰ ὡραῖα, πηγὴ ἀψοφητὶ βλύζουσα γαληνὸν τὸ ὕδωρ καὶ πότιμον, ἱεροπρεπῆ ἐπιεικῶς πάντα. ταῦτα μὲν ὁ ἀμφὶ τὸ τέμενος χῶρος· αὐτὸν δὲ τὸν νεὼν, οὐ δὲ ὀνόμασιν ἐπαξίοις συλλαβεῖν ῥᾴδιον, οὐ δὲ διανοίᾳ σκιαγραφῆσαι, οὐδὲ διαψιθυρίσαι τῷ λόγῳ· τοσοῦτον δὲ μόνον εἰπεῖν ἀποχρήσει, ὡς τῶν ἱερῶν κάλλει τε, καὶ μεγέθει ὑπεραίρει τὰ πλεῖστα. ταῦτα δὲ ἄμφω τὰ ἱερὰ, πρὸ τοῦ τῆς πόλεως πεποίηται τείχους, τὸ μὲν ἀρχόμενον παρὰ τὴν τῆς θαλάσσης ἠϊόνα, τὸ δὲ ἀγχιστά πῃ τῶν χρυσῶν καλουμένων πυλῶν· ἃς δὴ ἀμφὶ τὸ τοῦ ἐρύματος πέρας συμβαίνει εἶναι, ὅπως δὴ ἄμφω ἀκαταγώνιστα φυλακτήρια τῷ περιβόλῳ τῆς πόλεως εἶναι. ταῦτα μὲν διεξοδικώτερον εἴρηται, ὅπως τε συνέστη τὸ κατ' ἀρχὰς, καὶ τίνες οἱ τῶν δόμων ἐπιδημιουργοὶ τοῖς ἀγνοοῦσι διατρανώσαντες.... ἡμῖν δὲ καὶ τῆς ἑξῆς τὸ πλάτος οὕτω τηρήσομεν. ἀλλ' ἐπεὶ

τὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν τῶν θαυμάτων πλημμύραν προσηνεῖ τῷ ῥείθρῳ ὁρῶ περικλύζουσαν, ἐπ᾽ αὐτῇ δὴ καὶ τρέψω τὸ τοῦ λόγου ἀκάτιον. σὺ δέ μοι τὸ σκάφος ἰθύναις τοῦ λόγου, τῷ ῥοθίῳ τῶν σῶν θαυμάτων διολισθαίνον παρασκευάζουσα. Τῷ μεγάλῳ τούτῳ βασιλεῖ Ἰουστινιανῷ γυνὴ Θεοδώρα ἐτύγχανεν οὖσα· ταύτῃ δὲ προσῆν συγγενής, Γλυκερία τοὔνομα· ᾗ τινι πάθος ἐν τοῖς ἀποκρύφοις μέρεσιν ἐμφωλεῦσαν, πᾶσαν μὲν ἰσχὺν φαρμάκων προσβάλλουσαν ἀπεκρούετο, καὶ τὸ μηδὲν εἶναι διήλεγχε, καὶ διχῇ τὸ πιέζον ἦν, ὅτι τε σφοδροτέραις ταῖς ὀδύναις ἐπεπολιόρκητο, καὶ τὸ δὴ μεῖζον τοῦ πάθους, ὅτι καὶ κίνδυνος οὐκ ἐλάχιστος ἐπεκρέματο ἐν φανερῷ ἐκκεῖσθαι τοῖς θεραπεύουσιν, ἃ γυμνὰ φανῆναι ἀνδράσιν, ἀπηγορευμένα ἐστὶ τῇ φύσει· κἀντεῦθεν καὶ τὸ ζῆν ἀπολεγομένῃ τῇ Γλυκερίᾳ, ἡ παρθένος ἐπὶ πόῤῥω νυκτῶν ταύτῃ ἐμφανισθεῖσα, τοῦ σφετέρου τε ὕδατος μετασχεῖν προστάσσει, καὶ τοῦ πηλοῦ λαβομένῃ, ἐπιχρίσαι τὸ θλῖβον· γίνεται τοίνυν, καὶ τὸ πάθος εὐθὺς ἐξεῖρπε τῶν ἔνδον, καὶ διελύετο, ὑπερφυᾶ τὸν αἶνον ἐγεῖρον τῇ Θεομήτορι· αὕτη πρεσβείαν μετὰ τὸ πάθος στέλλει τῷ βασιλεῖ, ἐκχωρῆσαι οἱ τῷ νεῷ αὐτῆς, πρώτῃ μεταλαχεῖν τῆς ταφῆς, καὶ τετύχηκε μὲν ἥκιστα. νεὼς γεμὴν ὁ τῆς Θεομήτορος Ἄννης αὐτὴν ἐκληρώσατο· ᾧ καὶ ἡ βασιλὶς Θεοδώρα πολλὰ προσεβράβευσε, κἂν τῷ μέσῳ χρόνῳ, ταῦτα πάλιν ἀπέσβη καὶ διεῤῥύηκεν. Ἔτι τοῦ βασιλέως τούτου, τὴν ῥωμαίων ἡγεμονίαν ἰθύνοντος, τῶν τις ἐν ὑπεροχαῖς ὁμοῦ τε καὶ ἀξιώμασι, καὶ γένους περιφανείᾳ διάσημος, ὑγιείαν θορυβηθεῖσαν, καὶ ἀπιέναι μέλλουσαν ἀνακτώμενος, πρὸς ἰατροῦ τινὸς φάρμακον πεπωκώς, βοήθημα τοῦτο ἔθιμον τῇ συνηθείᾳ καλεῖν, ἐς τοσοῦτον διήμαρτε τοῦ σκοποῦ, ὡς ὄλεθρον μᾶλλον αὐτῷ ἐντεῦθεν πορίσασθαι, καὶ τῷ σώματι μὲν, οὐκοῦν, τῇ δὲ νόσῳ μάλιστα ἐπαρκέσαι, καὶ κατ᾽ αὐτοῦ

Θαῦμα γ.

Θαῦμα δ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περιστῆσαι τὸ φάρμακον· δίψα γὰρ ἐκεῖθεν προσπεσοῦσα τούτῳ σφοδρὰ, κἀντεῦθεν καὶ τὰ ἔνδον πάντα διακαεὶς, πυρετῷ λαβροτάτῳ συνέχεται· οὕτω δὲ τῷ ἔνδον πυρὶ ἐκκαιόμενος, ὕδατος ψύχειν ἱκανοῦ ἀπογεύεται, κἀκεῖνο διαμεταξὺ τοῦ φλέγοντος διϊὸν, καὶ ταῖς φλεψὶ, καὶ πόροις ἀναπεπταμένοις τῇ θέρμῃ προσομιλῆσαν, ῥήγνυσι τούτῳ τὰ ἔνδον, καὶ συχνὸν αἷμα τῶν ἐγκάτων ἀποῤῥαγὲν, ἐχώρει χύδην διὰ γαστρὸς, κατὰ βραχὺ δ' ὑπερτερῆσαν, καὶ τῆς τέχνης κρεῖττον γενόμενον, ὅσον οὔπω καὶ τὸν θάνατον ἐπιστῆναι κατηγγυᾶτο. φήμης τοίνυν ἁπανταχοῦ διελθούσης, ὡς εἴη ἐκείνῳ τῆς ζωῆς ὁ μίτος ἐπηρτημένος, ἡ βασιλὶς Θεοδώρα, ὕδωρ ἀποῤῥοφῆσαι τῆς ἱερᾶς πηγῆς παρηγγύα μηνύσασα, αὐτόθεν διατεινομένη ἔχειν τὰ παραδείγματα, ὅ,τε γὰρ βασιλεὺς ἐντεῦθεν περίεστιν ἔλεγε, καὶ τῇ πρὸς γένος Γλυκερίᾳ, οὐκοῦν ἑτέροθεν τὸ ἰάσιμον· ταῦτ' εἰποῦσα, πείθει· καὶ ὃς μετὰ τῆς ἴσης πίστεως τοῦ ζωηῤῥύτου νάματος ἀπεγεύετο, καὶ τὸ καταῤῥέον τοῦ αἵματος τὴν χύσιν τοῦ ὕδατος εὐλαβούμενον, ἀνεσύρετο, καὶ κατὰ χώραν ἔστη ἐκ τοῦ σχεδὸν, μὴ περαιτέρω δὴ χωρῆσαν, ἀλλ' ἀνασταλὲν τῇ προσψαύσει μόνῃ τοῦ ὕδατος. οὐδὲν ἐνδεῖν μοι καὶ ταῦτα δοκεῖ τῶν παθῶν, τοῦ κατὰ τὴν αἱμόῤῥουν ἐκείνην γυναῖκα, πλὴν ὅσον τῇ μὲν κρύφα κλέψαι τὴν ἴασιν δέδοκτο· οἱ δὲ μετὰ τῆς ἴσης πίστεως τοῦ ἀφανοῦς λείποντος, ἐπιτρέχουσι, καὶ ψαύσει μὲν οὐκοῦν κρασπέδου, καταπόσει δὲ καὶ μόνῃ τοῦ ὕδατος ἀπαλλάττονται, πηγὴν ἀναχαιτιζούσης πηγῆς πονηρὰν τε ἅμα καὶ θολερὰν, τῆς ἀφθόνου καὶ διειδοῦς· χρῆν δὲ ἄρα μηδὲ κἂν τούτῳ τοῦ ἴσου καὶ λόγου ἐνδεῖν τὰ πρὸς μίμησιν, ἀλλὰ τὸ ἴσον κἂν τοῖς τερασίοις διενεργεῖν. ἰλιγγιᾶν μὲν οὖν τῷ λόγῳ περίεστι, πρὸς τὸ πλῆθος ἐφισταμένῳ τῶν πεπραγμένων τῇ Θεομήτορι. καταλέγειν οὖν ἅπαντα ἐν ἀμηχάνῳ ἐστὶ παντάπασιν· ἃ δ' ἐστὶν ὥσπερεὶ

τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν ἄλλων κεφάλαια, καὶ ὄδὲ βουλομένῳ περιελθεῖν δυνατὸν διὰ τὸ ἐπίσημον, ταῦτ' εἰρήσεται. Δοτέον τοίνυν τῷ λόγῳ καὶ τὰ κατὰ τὴν τοῦ βασιλεύοντος Μαυρικίου ἀδελφὴν Εὐδοκίαν γεγενημένα τῇ τοῦ Λόγου μητρί. κατὰ δὴ τὸν μαστὸν τῆς εἰρημένης Εὐδοκίας, ἐκχυμοῦ τινος πονηροῦ, πάθος ἀνέφυ πολλῷ πονηρότερον· πάθος παθῶν ἁπάντων, ἐς κακίαν ὑπερτεροῦν· καρκίνον αὐτὸ παῖδες καλεῖν εἰώθασιν ἰατρῶν· ὃ δὴ κατ' ὀλίγον ἀκμάσαν, καὶ περὶ κύκλῳ πάντα τὸν μαζὸν χειρωσάμενον, τῷ σκολιῷ τοῦ κινήματος, ὀδύναις τε δριμείαις ἐδίδου τὸ γύναιον, τὰ ἔνδον διαβιβρώσκον, καὶ ἀπολέγεσθαι τὴν ζωὴν παρεσκεύαζεν· ὅ,τε γὰρ τόπος οὗτος ἦν ἀσθενώδης, καὶ ἐν ἑτοίμῳ ἱκανῶς ἐνευπαθῆσαι παρέχων τῷ ζώῳ· ἀλλὰ καὶ τὸ περὶ τὴν καρδίαν ἀγχίθυρον τό,τε δριμὺ τῆς ὀδύνης, ὤτρυνον ἐπὶ μᾶλλον, καὶ πονηρός τις ἐδόκει γείτων, ἠρέμα ὑφέρπων, καὶ ζωγρῆσαι τὴν καρδίαν πραγματευόμενος· κἀντεῦθεν αὐτῷ μὲν τὸ ζῆν ἐν καιρῷ προξενῆσαι, τούτου δ' ἀποστῆναι παρασκευάσαι τὸ γύναιον· ἀμέλει καὶ τὸ μὲν ζῶον τὰ κύκλῳ κατεδαπάνα καὶ διεβίβρωσκεν· ἔπασχε δὲ ἡ γυνή· ἀλλ' οὐδέν τι ἧσσον καὶ ὁ κρατῶν τῷ τῆς ἀδελφῆς πάθει κατεβιβρώσκετο· τῶν ἴσων δὲ μετεῖχε διὰ τὸν σύνευνον καὶ ἡ βασιλίς· ἀλλ' ἡ ὀξυτάτη βοήθεια, οὕτως ἀθυμοῦσι τούτοις, καὶ παθαινομένοις τὰ ἔσχατα, νυκτὸς τῇ βασιλίδι ὀπτάνεται κοσμίῳ καὶ σεμνῷ ψυχῆς καταστήματι, καί φησιν· ἀλλ' οὐ χρή γε οὕτως ἔχειν ὑμᾶς ἐν ἀπόρῳ, καὶ οὐχ ἧττον τῆς νόσου ἐκτετηκέναι, ἀλλ' οὐδ' ἐλπίδι ἥκιστα δυναμένῃ σώζειν, διατρίβειν τὸν νοῦν. εἰ γοῦν αὐτῇ γένοιτο τὸν ἐμὸν θάλαμον ὑπελθεῖν, οὐκοῦν ἔσεταί τι τοῦ λοιποῦ προσιστάμενον, ὃ τῷ πάθει διατηρήσει, τὴν ἐπὶ τῷ στήθει διατριβήν· ἡ τοίνυν βασιλὶς θορύβου γενομένη μεστή, ἐπεὶ καὶ τοῦ ὕπνου ἤδη ἐλύετο, μὴ τὸν ὄνειρον ὅθεν εἴη ἔχουσα διαγνῶναι, γυναῖκα δ' ἄλλως εἶναι συμβάλ-

Θαῦμα ε'.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συμβάλλουσα τῶν ἐκ πολλοῦ χρείᾳ πιεζομένων, μετεκαλεῖτο πάσας πρὸς τὰ ἀνάκτορα, καὶ ὑπερετίθη τὸν ὄνειρον. ἄλλων τοίνυν λεγουσῶν ἕτερα, καὶ τῆς δε πρὸς τόν δε δὴ τὸν νεὼν διαβῆναι, ἄλλων δὲ ἀλλαχοῦ, ὡς οὐδεμιᾷ τούτων τῆς ἀληθείας καταστοχάσασθαι ἐξεγένετο, ἡ Θεομήτωρ ἡμέρας διαλιποῦσας τινάς, τῇ βασιλίδι αὖθις ἐν ἴσῳ ἐφίσταται σχήματι, καὶ σφοδροτέροις ταύτην καθαπτομένη τοῖς ῥήμασιν, ἔλεγεν, οὐκ ἐγώ σοι διαπέμψαι τὴν ἀδελφὴν οἶκον δ' ἐμὸν παρηγγύησα; ἡ δὲ βασιλὶς αἰδοῖ, καὶ φόβῳ, ἥτις εἴη μὴ ἀγνοήσασα, διακεκομμένῃ, καὶ παραπαιούσῃ τῇ γλώσσῃ ἠμείψατο· τοῦτ' ἀληθὲς μὲν ὦ τῆς συμπαθείας πέλαγος διεκελεύσω· ἐμοὶ δ' ἀγνοεῖν ἐς τόδε χρόνου ἐστὶν, ἔνθα δή σοι φίλη διατριβὴ, καὶ ὅπου τῆς γῆς, ὁ βασιλικός σοι ὕπεστι θάλαμος. πολλῶν γὰρ ὄντων καὶ ἀπειρίτων τῶν γέ σοι ἀνειμένων, οὐκ οἶδ' ὁποίῳ τούτων ἐπιτρέπεις παραγενέσθαι· ἡ δὲ ταῖς ἀληθείαις βασίλισσα, τῇ βασιλίδι αὖθις πρὸς λόγους γίνεται· ἐμοὶ τὰ βασίλεια λέγουσα, ἔξω τῆς βασιλευούσης, κεκομψευμένα παντοίοις εἴδεσιν ἀνεγήγερται, καὶ πηγῇ ταῦτα διειδοῦς καὶ ἡδίστου ὕδατος ἐναμβρύνονται, ἄφθονα κατὰ πελάγη ἀναρρεούσῃ τὰ νάματα· ὧν εἰ τῇ νοσούσῃ μεταχεῖν γένοιτο, αὐτίκα γνοίη καὶ καρκῖνος ὀρθὰ βαδίζειν, τοῦτο δὴ τὸ παράδοξον, τῇ ἐμῇ δυναστείᾳ στενοχωρούμενος· ἔφη· καὶ ὁ ὕπνος τὴν βασιλίδα ἀνίησιν. εὐθὺς οὖν νυκτὸς ἐπεχούσης, σὺν τῇ Εὐδοκίᾳ, τῆς Θεομήτορος ἐφίπταται τῷ νεῷ, καὶ ἀδεῶς ἐπισπῶσα τοῦ ἁγιάσματος, καὶ τὸν μαζὸν περικλύζουσα, τῷ ἐκεῖθεν τε βορβόρῳ τὸ ἐκ τῆς φωταγωγοῦ ἀναφύρουσα ἔλαιον, καὶ τὸ πάσχον ἐπιχρίουσα μέρος, ἐφ' ἡμέραις βραχείαις πάνυ, φυγαδεύει τὸ πάθος, καρκίνου δίκην ἀναπόδα χωρῆσαν τῇ βαθείᾳ γαλήνῃ τῶν ῥοθίων τῆς Θεομήτορος.

Θαῦμα ϛ'. Ἀλλὰ πῶς ἄν τις καὶ τὸ κατὰ τὴν βασιλίδα Εἰρήνην, ἢ τὴν ἑβδόμεν

ἀνε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνεκρότησε σύνοδον, ἀνέχοιτο σιωπᾷν ὑπερφυῶς διαπεπραγμένον τῇ Θεομήτορι; ἔτι γὰρ αὕτη, σὺν τῷ υἱῷ Κωνσταντίνῳ τὸν βασίλειον θρόνον διασεμνύνουσα, αἱμοῤῥοίας πάθει τὰ ὑπογάστρια πλήττεται· καὶ τὰ μὲν πρῶτα, ὕπωχρόν τε ἦν αὐτῇ τὸ πρόσωπον καὶ συντετηκὸς, τοῦ θερμοῦ καταῤῥέοντος· εἶτα κατ' ὀλίγον πρὸς τὰ ἔνδον συννεύσασα, καὶ ἀηδῶς πρὸς σῖτα διατεθεῖσα, τῶν ὑπογαστρίων ἀναθυμιωμένων ἀτμῶν, καὶ ἀμβλυνόντων ταύτῃ τὴν ὄρεξιν, ἀπόσιτός τε ἐγίνετο, καὶ ὁ ποτὸς οὐδέν τι ἧσσον ἄπρακτος ἔμενεν· ἰατρῶν δὲ ἄρα τέχναι καὶ μαγγανεῖαι, τερατεία τε καὶ λόγος ἄλλως ἠλέγχετο· τοῦ θερμοῦ τοιγαροῦν ἅπαντος τῇ βασιλίδι ἐκκενωθέντος, ἀποψύχειν τε αὐτίκα προσδόκιμον ἦν, καὶ ὅσον οὔπω τὴν τελευτὴν ἐπιστήσεσθαι· ἐν τούτῳ δὲ τοῦ πράγματος ἠρτημένου, ἐπιστάς τις, πείρᾳ τὰ τῆς Θεομήτορος ἐγνωκὼς, ἠνώχλει τῇ βασιλίδι παρὰ τὴν πηγὴν ἀφικέσθαι, καὶ τοῦ ἐκεῖθεν πηγάζοντος ὕδατος ἐκπιεῖν· ἡ δ' ἀπτέρῳ τάχει, καί περ τοῦ ζῆν ἀπ' ἐλπίδος γεγενημένη, παρὰ τὸ στόμα γίνεται τῆς πηγῆς· καὶ ἐπεὶ τοῦ ὕδατος μεταλαβεῖν ἤρξατο, τὸ μὲν καταῤῥέον πρότερον, αὐτίκα συνεστάλη θερμὸν, τῷ καταῤῥυέντι ψυχρῷ στομωθέν· ἀναχαιτισθὲν γὰρ, τὴν αὐτῆς ὁλομέλειαν τὸ θερμὸν εὐθὺς διατρέχει, τὸ ζῆν χαριζόμενον· γίνεται γὰρ τὸ ψύχον ὥσπερ τις ἀναψυχὴ, τὸ θερμὸν κατὰ χώραν μένειν παρασκευάζον, καὶ παρ' αὐτὰ, τῆς οἴκαδε ἥπτετο· τῇ δὲ Θεομήτορι τὴν χάριν ἀποτιννῦσα, πέπλα ἄττα, ὕλῃ μὲν παντοίᾳ κεκομψευμένα, χρυσῷ δὲ τὸ πλεῖστον καὶ μαργάροις καταστραπτόμενα τῷ νεῷ αὐτῆς ἀνατίθησι, καὶ τῆς ἀναιμάκτου θυσίας κρατῆρας, ὕλης ἀρίστης, λίθοις καὶ μαργάροις διαφανέσιν ὑπερτεροῦσι καὶ αὐτὴν χιόνα χαρίζεται, πρὸς δὲ καὶ τὸ τοῦ υἱοῦ καὶ βασιλέως στέφος αὐτό· ὡς ἂν δὲ εἴη καὶ τὸ θαῦμα περιαδόμενον, καὶ πᾶσι

δὴ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὴ γνώριμον τοῖς εἰσέπειτα, προστάσσει αὐτήν τε, καὶ τὸν
υἱὸν ἀνὰ τὸν νεὼν πρὸς ἐνώπια εἰσιόντι, ψηφίδι περιέργῳ
ἀναστηλῶσαι, τὰ περίχρυσα ταῦτα δῶρα, ταῖν χεροῖν πε-
ριφέροντας, καὶ ἐς ἐμὲ νῦν εἰσι θεωρούμενοι, εἰ χρὴ τόδε-
φάναι, σιγῶντες ἐπαινέται τῆς μεγαλουργίας, καὶ διαπρύ-
σιοι τῆς Θεομήτορος κήρυκες, ἐμπαμπεύοντες, ὡς ἄντις
εἴπῃ, τῇ θεωρίᾳ καὶ ἀγαλλόμενοι, ὅτι δὴ ἐξυπηρετοῦνται
τῇ Θεομήτορι· τοῦτο γὰρ αἱ ψηφίδες ἐπὶ τοῖς προσώποις
ἀγγέλλουσιν, ἱλαρὸν αὐτοῖς ἐπανθοῦσαι, οὐ μᾶλλον δ' ὡς
εἰκάσαι προσφέροντες, ἢ λαμβάνοντες χάριτας· αἱμόρ-
ρουν μὲν οὖν ἐκείνην λόγος, ἐπὶ στήλης πρώτην ἀναγεῖραι
τὸν εὐεργέτην, χαλκῷ ἐς κάλλος ἀνδριάντος διαχυθέντι,
ὅσον ἦν ἐκείνῳ θεανδρικῆς ἀναδρομῆς ἐκμετρήσασαν. ἀλλὰ
καὶ ἡ βασιλὶς αὕτη πρώτη, τὴν ἐκείνου θεανδρικὴν εἰκόνα,
καὶ τῆς αὐτὸν τεκούσης καὶ εὐεργέτιδος, ἐκ τοῦ μέσου τῇ αἱρέσει
γεγενημένας, πάλιν ἀνίστησι· καὶ αὐτὴν δὲ τῷ ταύτης νεῷ
συνανίστησι· διὰ μὲν τῶν πέπλων, τὴν τοῦ κρασπέδου ἀ-
φὴν, ἠρέμα πως διαγράφουσα· τῷ δὲ ἀλουργῷ τῆς βαφῆς,
Θαῦμα ζ'. τὴν αἱμόρροιαν εἰκονίζουσα. Παρήτω καὶ βασιλὶς ἑτέ-
ρα, τῇ τῶν ὅλων βασιλίδι συγκροτοῦσα τὸν ἔπαινον· Θεο-
δώρα ἡ βασιλὶς, ᾗ ἀνὴρ μὲν ὁ ἄναξ Θεόφιλος· ὀρθοδο-
ξία δὲ αὐτῇ τὸ ἐπίσημον. ταύτῃ θυγάτριον ἦν ἀστεῖον
τὸ εἶδος καὶ εὐφυὲς, ἄλλως δὲ αὐτῇ, τῶν ἄλλων παίδων
κατάκρως πεφιλημένον, Θέκλα τῷ κορίῳ τὸ ὄνομα· τούτῳ
τοίνυν μετὰ τὴν τῆς δυσσεβείας κατάλυσιν, πυρετῶν ἑσ-
μὸς ἀτάκτων ἐπεισέφρησε, λάβρως αὐτὸ διακαίων· ἐπὶ
τόσον δὲ τὰ ἔνδον ἦν πυρπολῶν, ὡς οὐδ' ἀνασχέσθαι χεῖ-
ρά τινα θεῖναι, τῷ ἐπιπολάζοντι ἔξωθεν. χρόνου τοιγα-
ροῦν ἐπιμετρηθέντος τούτῳ συχνοῦ, ἐπὶ ταῖς τῆς μητρὸς εἰ-
σηγήσεσι, καθάπερ ἔλαφος πρὸς τὴν τῆς Πανυμνήτου πη-
γὴν ἐπεπόθησε διελθεῖν, σβέννυσι μὲν παραυτὰ τὴν κα-

ταπιμ-

ταπιμπρῶσαν ἐξεπίτηδες κάμινον· νάρκην γὰρ αὐτίκα τὸ πάθος ἐνδύεται, καὶ μαρανθὲν διὰ τῶν πόρων ἐξίσταται, τῷ σβεστηρίῳ τῆς Θεομήτορος ὕδατι, καὶ διαγέγονε τοῦ λοιποῦ πρὸς εὐκρασίαν μεταχωρήσασα· ὅθεν ἡ Θεοδώρα ἀντευχαριστοῦσα, ὥσπερ καὶ ἀντιφιλοτιμουμένη τῇ Θεομήτορι, πλεῖστα τῷ τεμένει ταύτης ἐπεβράβευσε, χρυσαῖς σφραγῖσι ταῦτα ἐξασφαλίσασα. Προσκείσθω τοῖς λοιποῖς, καὶ τὸ κατὰ τὸν πρωτοσπαθάριον γεγονὸς ὑπερβαῖνον πᾶσαν φύσιν τεράστιον. οὗτος τὰ ἔνδον ὑπόπυρος γεγονώς, οἰδήματά τινα τοῖς ἐγκάτοις ἔσχεν ἀνῳδηκότα. πεπανθέντα τοίνυν ἐκεῖνα τῷ χρόνῳ καὶ καύσωνι, εἶτα καὶ ἀμηγέπη ἀποῤῥαγέντα ἕλκη ἀνέβρυον, δυσειδῆ καρπὸν καὶ ἰλίγγου πλήρη κατὰ τοῦ στόματος ἀναβλύζοντα, ἔνθεν καὶ τὸ πύον ἐκρέον, ὀδύναις ἐδίδου τὸν ἄνδρα δριμείαις, διεφθορότων αὐτῷ τῶν μελῶν. ἐπίσης δ' αὐτῷ εἶναι ἀποκεκλεῖσθαι σιτίων καὶ πόσεως, καὶ μὴ δ' ἐλευθέρως ἔχειν ἀναπνεῦσαι, καὶ νεαρῷ τῷ ἀέρι καταψύξαι τὰ ἔνδοθεν, ἅτε δὴ τοῦ πύου ἐμφραγνύντος τὰς τοῦ πνεύμονος σήραγγας, καὶ ἐς μέγα ἐπεχώρει τὸ ἄλγημα. τὸ γεμὴν δυσῶδες ταῖς βραχείαις ἐκείνου πνοαῖς ἐποχούμενον, μή τοι γε βδελύττεσθαι παρεῖχε τὸν προσιέμενον, ἀλλὰ καὶ αὐτὸν ἐκεῖνον, τῷ ἄσθματι τῆς σαπρᾶς ἀποφορᾶς ἐκείνης τὴν ὄσφρησιν διοχλούμενον, οὐχ ἧττον αἰτεῖσθαι ἀνάῤῥωσιν, ἀλλὰ χάριν ἔχειν, καὶ εὐχῆς ἔργον πράττειν, εἰ τάχος ὅσον ἀπηλλάχθαι τούτῳ γένοιτο τῆς ζωῆς. ἐκ πολλοῦ γοῦν παρὰ ταῖς διεξόδοις τῶν ὑδάτων τῆς Θεομήτορος ἐκριφεὶς, ἐτρύχετο μὲν ἀεὶ, καὶ ἐστροβεῖτο τὰ ἔνδοθεν, εὐχαῖς γεμὴν προσκείμενος ἦν, ἢ ἐπαπολαῦσαι τοῦ ἥδοντος, ἢ μὴ ἐπὶ τόσον τρύχεσθαι τῷ νοσήματι· ἐπίσης γὰρ αὐτῷ τόν τε θάνατον ἐράσμιον εἶναι, καὶ τὸ ἀπολιπὸν τῆς ὑγείας ἐπανακτήσασθαι· καίποτε πρὸς ὕπνον τραπεὶς, γυναῖκά τινα κοσμίαν

Θαῦμα ή.

ἐδό-

ἐδόκει ὁρᾷν, ὑπὸ σεμνῷ καὶ εὐειδεῖ τῷ κατασχήματι, εὐμαρῶς περιϊοῦσαν τὸ τέμενος, παρ' ἑκάτερα δὲ γεραρώ τινες δύο ἐῴκεσαν αὐτῇ συμπεριπολεῖν, ἱλαρῷ κεχρημένοι τῷ περιπάτῳ· Γρηγόριος δὲ καὶ ἀμφοτέροις ἡ κλῆσις· τῷ μὲν γὰρ λόγοι καὶ θεολογία, θατέρῳ δὲ τεράστια τὰ γνωρίσματα· ὧν ἅτερος καὶ σκύφον ἐδόκει ταῖν χεροῖν περιφέρειν, πολυταλάντου ὁλκῆς. ὡς γοῦν ἁπανταχοῦ προϊόντες, καὶ ἐπὶ τόνδε τὸν σπαθάριον παρεγένοντο, ἱκέτις τῶν ἀρχιερέων ἡ δυὰς γίνεται ἐν κατεσταλμένῳ, καὶ σεβασμίῳ τῷ ἤθει, χεῖρα τῷ ἀσθενοῦντι ἐγκαίρως ὄρεξον Δέσποινα λέγουσα. ἡ δὲ τῷ θεολόγῳ, τῶν ἐν χερσὶ μεταδοὺς ἐπαπολαῦσαι φησὶ, καὶ ὃς ἐποίει τὸ κελευσθέν· προκύψας γὰρ ὡς βραχύ τι μεταδιδόναι τούτῳ ἐῴκει τοῦ πόματος· ὁ δ' ἀσθενῶν ὕδατος εἶναι ψυχροῦ, καὶ τὴν γεῦσιν ἡδέως ἐνόμιζε τὴν κατάποσιν, καὶ παραυτὰ τῆς ὑπερβαλλούσης σου χάριτος Ἀειπάρθενε, ῥάονος ᾔσθετο ἑαυτοῦ, καὶ οὐδέν τι ἦν τοῦ λοιποῦ μεθέλκον τὴν ἀναχώρησιν. τοῦτο τῶν ἄλλων θαυμάτων παραδοξότερον. τῶν γὰρ σεσημμένων, καὶ διεφθορότων μελῶν, ἐν κρυφῇ καὶ ταῦτα, ἀθρόον τὴν οὐλὴν ὑποστῆναι, ὕδατος ὄντος τοῦ ταῦτα ξηραίνοντος, εἰς ὑπερβολὴν οὐδενὸς ἀπολείπεται· ἀλλ' εἰ μὲν ἑτέρῳ πράττειν ἐνῆν, ἴσως ἂν καὶ τὸ ξενίζον μάλα προσῆν· νυνὶ δὲ ὅσῳ μᾶλλον παρεξετάζεται, τοσοῦτον ἐν δευτέρῳ συμβαίνει εἶναι τῇ Θεομήτορι.

Θαῦμα θ'. Ἄξιον δ' μηδὲ τοῦτο παραδοῦναι σιγῇ, τοσοῦτον τῶν εἰρημένων οὐκ ἔλαττον, ὥστ' οὐκ οἶδα, εἰμὴ καὶ τὸ πρωτεῖον ἄροιτο κατὰ πάντων· ὃ δὴ παριστᾶν πάντως ἔχει, ὡς καὶ αὐτὴ δυναμένη ἐστὶ, κατὰ τὸν υἱὸν καὶ Λόγον, καὶ νεκροῖς τὸ ζῆν ἐπιπνέειν, καὶ τῶν τάφων ὄντως παρασκευάζειν ἐξάλλεσθαι. δοτέον τοίνυν τῷ λόγῳ τὰς ἀκοὰς, ἵνα μήτι τῶν ὑφερπόντων παραπεσὸν, ὑπερφυοῦς ὑμᾶς στερήσειε διηγήματος. ἀνδρί τινι Θετταλῷ, ἔρως ἐξέτι νέου παράδοξος γίνεται,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ται, παρὰ τὴν Ἱερὰν, ϗ θείαν γεγονότι πηγὴν, τὸν πόθον ἀφοσιώσαθαι. ἤτε γὰρ φήμη τῶν ἐν αὐτῇ τελȣμένων περιήχει τὰ ὦτα, ϗ ἄλλως, ȣ̓κ οἶδ᾽ ὅπως, ὑπεχημένος τῇ θεομήτορι, ὅρκῳ τὰ τȣ̃ πράγματος· ἠσφαλίσατο. ταῖς γεμὴν τȣ̃ βίȣ φροντίσι, ϗ περισάσεσιν ἐμποδȣ́μενος, ἄλλως τε καὶ ὑπὸ τȣ̃ πονηρȣ̃ πνεύματος ἐνεργȣ́μενος, ἀναβολῇ τὸ πρᾶγμα ἐδίδȣ, ϗ ἡμέραν ἐξ ἡμέρας προθεὶς, ἔλαθε τὸ πολὺ τȣ̃ βίȣ ἐξηνυκὼς, ἐπὶ διακένοις ταῖς ὑποσχέσεσιν. ἀλλὰ καιρῷ τινι πᾶν τὸ προσισάμενον ἀποτιναξάμενος, καὶ πλόιω ἅττα τῶν ἀναγκαίων ἐνθέμενος, τὴν εὐθὺ τῆς Κωνςαντίνȣ ἔπλει, τῶν οἴκοι ἀφροντισήσας. ἐν μέσῳ τοίνυν τῷ πλῷ, τὴν πρὸς θάνατον ἀσθενήσας, ἐπεὶ κατὰ τὸ, ὃ καλεῖται ἀθύρας, προάςειον γίνεται, ἐκεῖσε δὴ τῷ πλοίῳ ἐλλιμενίσαντι, ὁ θετταλὸς ἐκεῖνος ἀνὴρ τȣ̃ βιωτικȣ̃ κλύδωνος ἀπανίςαται, διαμετρηθείσης αὐτῷ τῆς ζωῆς. ἔτι δ᾽ ȣ̃ν τȣ̃ πνεύματος ἐν ῥισὶν ἐφιζάνοντος, ἀραῖς ταῖς παλαμναιοτάταις τȣ̀ς συμπλῶτας κατησφαλίζετο, ϗ κατὰ τῆς πηγῆς τῆς Θεομήτορος ἐμπεδῶν ἦν, μήτι τῶν ὅσα ἔθος ἐπ᾽ αὐτῷ διαπράξαθαι μετὰ μόρον; πρὶν ἢ παρὰ τὴν ζωηφόρον ἀγαγόντας πηγὴν, τρὶς ἐπιχέαι τȣ́τῳ καθ᾽ ἅπαντος τȣ̃ σώματος, κατὰ σχῆμα τεταμμένȣ γυμνȣ̃, μεθ᾽ ȣ̃ ἀντλεῖν ἔθος τȣ̃ ἁγιάσματος, κάδδȣς ȣ̓́τω καλεῖν ἔθιμον τῷ χυδαίῳ πληρώματι· τότε γὰρ φησι καὶ ὁ χῶρος ἐκεῖνος ἐμοὶ γενέσθω ταφή, ταῦτ᾽ ἐπισκήψας τοῖς συνναύταις, ᾤχετο ἀπιών· οἱ δ᾽ ὡς πλησίον ἐγένοντο, τὸν τȣ̃ θετταλȣ̃ νεκρὸν τοῖς ὤμοις διαβασάσαντες, παρὰ τὸν νεὼν γίνονται· τȣ̃τον δὲ πρὸς τῇ φιάλῃ, ὅπȣδὴ καὶ ὁ τȣ̃ μάρτυρος Εὐςρατίȣ ναὸς θέμενοι κατὰ νώτȣ, ἀμφεπονȣ̃ντο ὅσα δὴ ὁ τελευτήσας τȣ́τοις ἐπέσκηψεν. ἀμέλει καὶ τῶν ἀμφίων τὸν νεκρὸν περιδύσαντες, ἐπέχεον τȣ́τῳ τȣ̃ ὕδατος· φρίτω δὲ τοῖς ἑξῆς προσ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βάλλων τοῦ διηγήματος· ὡς τὸ γὰρ τελευταῖον καὶ τρίτον ἄντλημα ἐπεκέχυτο, τηνικαῦτα ὥσπερ ψυχῆτις τούτῳ τὸ ὕδωρ ἐγίνετο, καὶ ἀναπηδήσας ἔστη, πᾶσι καταφανὲς γενόμενος θέαμα. ἐπὶ πλεῖστον μὲν ἀγνοούμενος, φάσμα γάρτι ἐῴκεσαν καθορᾶν· ἐπεὶ δὲ καὶ τοῖς σχήμασι, καὶ τοῖς πράγμασιν εἰς πίστιν αὐτοὺς ἐνῆγε περιχυθέντες τούτῳ, ἠλάλαζον ὑπέραγαν τὴν ζωηφόρον ὄντως πηγὴν μεγαλύνοντες. ἆρα τίς φαίη τοῦτο, τοῦ κατὰ τὸν Λάζαρον ἐνδευτέρῳ κεῖσθαι; πολλοῦ γε καὶ δεῖ· πλὴν ὅσον ἐκεῖνον δάκρυον καταῤῥέον, καὶ φωνῆς ἐμβρίμησις διανίστησι τεταρταῖον ἀναθορόντα καὶ ὀδωδότα, τῷ δὲ, οὐδάκρυον καὶ φωνὴ, ἀλλ' ἠχὼ πηγῆς ἀειζώου τριττὴ, τὸ ζῆν ἐπιπνεῖ. καὶ τό γε πρὸς ἔκπληξιν ἴσον, ὅτι τούτου μὲν ἡχριστοῦ μήτηρ δημιουργὸς, ἐκεῖνο δὲ, χριστὸς ὁ ταύτης υἱὸς διεπράξατο, ἐκείνης ὥσπερ εὐδοκήσας γενέσθαι, οὕτω καὶ τὰ ἴσα πράττειν, κατ' αὐτόν γε ἐκεῖνον ἐφείς. ὁδὲ, τῶν μεγίστων ἠξιωμένος οὐτοσίν ἀνὴρ θετταλὸς ἀκριβωσάμενος τὸ τεράστιον, εἷς τῶν τῆς μονῆς γίνεται τὰ μοναχῶν τελεσθεὶς, καὶ θεοφιλῶς τόλεῖπον διανύσας τοῦ ζῆν, ἐν ἀρίστῳ βίῳ πρὸς θεὸν μεταβαίνει, καὶ νῦν ἐν ταῖς εἰσόδοις πρόκειται τοῦ νεὼ, τῷ καλύπτοντι λίθῳ τὸν τάφον ἀνακηρύττων τὸ θαῦμα, καὶ νέκυς στεντόρειον. καὶ μηδεὶς ἴσως ἀπιστείτω· οὐδὲ γὰρ ὅσιον περὶ τοιούτων διηγουμένῳ. εἰ γὰρ σκιαὶ, καὶ σουδάρι ἄττα τῶν ἀποστόλων ὑπηρετεῖ πρὸς ἀνθρώπων ἀνάπλασιν, ποῦ δίκαιον, μὴ τῇ τοῦ θεοῦ μητρὶ τὸ πλεῖον ἐθέλειν βραβεύειν, καὶ τῶν μεγίστων παραχωρεῖν, ἀσυγκρίτως ὑπερκειμένην ἐφ' ἅπασιν. ἀλλὰ τοῦτο μὲν τοιοῦτον· ἐκδέχεται δὴ τὸ μετὰ τοῦτο δεῖξαι, πῶς ποτε ἄρα προνοίας ἔχει περὶ τὸν ἑαυτῆς οἶκον ἡ πάναγνος.

Καθ' Α'. Θαῦμα ι'.

Τιμᾷ γὰρ αὐτὸν οὐ μόνον οἷς ἀεὶ διαγέγονε τὰ ἡμέτερα εὖ πράττουσα, ἀλλὰ καὶ τῷ μηδενὶ λύπης αἰτίαν ἐντεῦθεν γενέσθαι παρασκευάσαι, τὴν κα-

θάπαξ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θάπαξ χαρᾶς γενομένην διάκονον· πῶς γὰρ ἡ τοσοῦτον εὐεργεσίας περίεστιν, ὡς μηδενί ποτε λυπηρὰν ὀφθῆναι θελῆσαι, ἐνὸν κἂν τούτοις εὐεργετεῖσθαι πολλάκις, ἀλλ' ὅμοι λέγειν ὡρμημένῳ ἔστη τῷ λέγειν. Σείει πολλάκις τὴν γῆν ὁ θεὸς ἡμῖν ἐκτόπως σαλευομένοις, ἐπ' ἀσφαλοῦς ἑστάναι κρηπῖδος εὐεργετῶν, ϗ μὴ τοῦ καθεστηκότος ἐκφέρεσθαι. ἴσως δὲ καὶ τοῦ δέοντος ἐκτρεπομένοις, ϗ διαῤῥέουσι πρὸς τὰ χείριστα, τῷ ἀφεστάναι θεὸν φοβεῖσθαι, ἐπὶ τὰς χρηστοτέρας ἐπανάγων τῶν ἕξεων διὰ τοῦ τρόμου τῶν ἀψύχων ἡμῖν παρέχων συναίσθησιν. ἐπιβλέπει μὲν οὖν πρὸς τὴν γῆν, ϗ αὐτίκα τρόμος αὐτὴν λαμβάνει, τῇ ἐποπτείᾳ τοῦ κτίσαντος, φεύγουσαν δῆθεν ἐξαπίνης καὶ ὑποστελλομένην. τοῦτο δὲ οὐκ ἔξω τῶν ὅρων πάσχει τῆς φύσεως, τῶν ἐπ' οὐδενὸς ἑδραζόντων ταύτην ἐν ἀσφαλεῖ. . . . . πνεῦμα δὲ ταῦτα ϗ ὕδωρ, ϗ αὐτῶν ἐπειγομένων τῷ φόβῳ ἀναχωρεῖν, ϗ ὑπεξισταμένων ἀθρόον τῷ νεύματι. ἤδε τούτων θορυβουμένων, ποτὲ μὲν παλλομένη, ἀνατινάσσεται, ϗ εἰς τοὐπίσω χωροῦσα, τοῖς ἔμπροσθεν γίνεται, ϗ ῥοπῇ μιᾷ τὰ κύκλῳ περίεισιν· ὅθεν καὶ τεμένη θεῖα πολλάκις κατασεισθέντα, ἐξ αὐτῶν ἀνετράπη τῶν βάθρων, ϗ τῶν κειμηλίων, ἅττα διέφθορεν· οὐ δὲ γὰρ τούτων χρεία θεῷ, ὑπὲρ τὸ πᾶν εἶναι διεγνωσμένῳ, ὅτε μὴ δι' ὃν ταῦτα, τὸν οἰκεῖον κόσμον ἀπολαμβάνει καὶ μέγεθος. ἄλλοτε, τὸν κάτωθεν καχλάζει ϗ ἀναβράσσεται, ὅθεν ϗ πηγὰς πολλάκις ἀνίησι, ϗ βόθροις ἔστιν ὅτε συγκατασπᾷ τὸ ἀγχίθυρον, ϗ πολλοῖς ἐξ ἐρειπίων τάφος ἐσχεδιάσθη, συγκατεσπάσθησάν τε τοῖς χάσμασιν ἕτεροι, ϗ συχναὶ πόλεις εἰς ἅλμην μετεσκευάσθησαν, ἴσως ϗ πράττειν εὖ ἡρημέναι. ἀπεναντίας γὰρ ἰόντος ἔξωθεν πνεύματος, ϗ συνωθοῦντος τὸν ῥοῦν, τὸ μὲν πνεῦμα ὑπὸ γῆν ἔδυ, ὁ δὲ εὐθὺς ἀνατρέχει, τῆς ῥοῆς ἀθρόας ἐπιχυθείσης. ἔμελλε τοίνυν σείειν

τὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν γῆν ὁ Θεὸς, εἴπερ ποτε, συμμετέχειν δὲ καὶ τὸ εἰς εὐεργεσίαν ἀνειμένον τῇ Θεοτόκῳ μέγιστον τέμενος, τῆς ἐκ Κυρίου ὀργῆς. πολλοῦ δὲ πλήθους τοῖς θαύμασιν ἐπιῤῥέοντος, ϗ ταῖς ἐκεῖσε διατριβαῖς, ὑπὸ χρησαῖς ταῖς ἐλπίσιν ἁπανταχοῦ τοῦ θείου τεμένους περιϊόντος, ἵνα μή τινι συμπεσὼν ὁ νεὼς ὄλεθρος γένηται, σκοπεῖν ἀνάγκη, ὅπως ἡ Θεομήτωρ ἄριστα διεσκεύασε· σαββάτου μὲν γὰρ τὰ πρὸς ἑσπέραν ἤδη ἐτετέλεστο, μοναχῷ δέ τινι τῶν σεμνῶν, ἐξ ἔθους ἦν πρὸ τῶν πυλῶν τοῦ νεὼ ἐπὶ σκίμποδος ἀναπαύεσθαι, ὡς ἂν ἐν ἑτοίμῳ εἴη αὐτῷ, θᾶττον ἀπαντᾷν πρὸς τὴν σύναξιν, ϗ μὴ ταῖς κατὰ μικρὸν ἀναβολαῖς, πρὸς τοῦ πονηροῦ παρακλέπτεσθαι, ὥσπερ δῆτα τρόπος ἐκείνου, ϗ μάλα τοῖς ὕπνοις ἡμῖν ἐμφανίζοντος, ϗ τοῖς ἀτόποις τῷ νῷ διδόντος διατριβὴν, ἐν τῷ ἥδεσθαι. τούτῳ οὖν οὕτως ἐπὶ ξηροῦ μαλθακῷ ἐφειμένῳ τῷ ὕπνῳ, ἐδόκει ὁρᾶν γυναῖκά τινα τῶν ἐπιφανῶν, ὡς εἰκάσαι ἦν τῇ καταστολῇ καὶ τῷ σχήματι, πορφύρα γὰρ αὐτὴν ἐνεδίδυσκεν, ἐς πολυτέλειαν βασιλίδι ἁρμόζουσα, ϗ ἡ βάδισις ὑπερφυής τις, ϗ λίαν διαπρεπὴς ἐῴκει, ταύτην δὲ πρὸς ταῖς μέσαις τοῦ θείου τεμένους πύλαις ἑστῶσαν, ἅπαντα τὸν χῶρον ἐκεῖνον τῷ μεγέθει διαλαμβάνειν. ἡ κεφαλὴ μὲν γὰρ αὐτῇ, τῷ ὑπερθύρῳ τῆς φλοιᾶς ἐδόκει στηρίζεσθαι. ἐπ᾽ ἐδάφους δὲ τοὺς πόδας ἀσφαλῶς ἡδρᾶσθαι, ἑκατέρα δὲ παραστάδι τὰς χεῖρας εὐφυῶς διαπεταννῦσαν κατὰ σχῆμα εὐχομένων, δεῖσθαι θερμότερον. κἀνδρῶν δὲ στίφος, εὐνούχοις δὲ ἄρα εἰκάζοντο, στολὴ γὰρ τούτους ἐκόσμει ὑπερφυεῖ τῷ λευκῷ ἀπαστράπτουσα, κύκλῳ τὸν νεὼν περιῆγον, κεράμια ληκυθίοις προσεοικότα ταῖν χεροῖν περιφέροντες. τοὺς ἐξ ὑέλου φωταγωγοὺς τοῦ ἐλαίου ἐπίμπλων, τὴν δ᾽ ἐς ὑπερβολὴν θαυμασίαν ἐκείνην, σχολαιοτέρῳ βαδίσματι μεταβᾶσαν ἐκεῖθεν, πρὸ τῶν ἀδύτων. γενέσθαι τοῦ Ἱεροῦ, οὗ ὁ χῶρος τῶν ἄλ-

λων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λων ἐςὶν ἀβεβηλότερος, κἀκεῖσε τοῖς ὁμοίοις ἐγκεῖσθαι ὡς δοκεῖντε ἀγωνιᾷν, κ) ἱδρῶτι περιῤῥεῖσθαι συχνῷ, τῆς φιλανθρωπίας τὸ πέλαγος, εἶτ' ἀνάποδα μικρὸν γενομένην, φωνῆς μεταδεδωκέναι τῷ μοναχῷ, ὅσον λέγεσα τάχος, συνεφαπτομένης σπεδῆς, τὸ τῆς συνάξεως ξύλον ἀνακροτήσαντες, τὰς ἐξ ἔθες ᾠδὰς σὺν εὐχῇ συντόνῳ θεῷ ἀναπέμψατε. μετὰ βραχὺ γὰρ τὰ ἐνταῦθα ἐπισκοπῇ πονηρᾷ ἐπισκέψεται Κύριος. παντάπασι μέντοι, ἀποκεκλείσθω παισὶν ἀώροις, κ) ἀποδιδράσκειν ἥκιςα ἱκανοῖς ἀνδράσιν, ἅτε νόσῳ κατειργασμένοις, ἡ εἴσοδος. ἐπεὶ δ' ὁ μονάζων τῦ ὕπνε ἐλύετο, κ) καθὼς ἡ ὄψις ἤγγειλε διεπέπρακτο, ὡς πρὸς τῇ βδόμῃ τῶν ᾠδῶν τὰ τῆς εὐχῆς προεχώρει, κ) ὁ πεντηκοςὸς μετὰ τῦ συνήθους ᾄσματος ἐξυφαίνετο, ἐπεισπίπτει μὲν ῥαγδαῖος εὐθὺς ὁ σεισμὸς, μέγιςον ἐπηρμένος τὸν κίνδυνον. πάντων ἒν πρὸς φυγὴν ἀπιδόντων, τὸ γὰρ ἥμισυ τῆς σφαίρας τῆς ὁλομελείας διεῤῥωγὸς κατεφέρετο, τὰ κύκλῳ πάντα συνεπισπώμενον, εὐθὺς αὐτόμαται μὲν αἱ πύλαι πᾶσαι τῆς ἐκκλησίας ἀοράτῳ δυνάμει, τῶν κλείθρων διαῤῥαγέντων ἀναπετάννυνται, ἀσφαλῶς ἐνειρμέναι τὸ πρότερον. κατ' εὐθὺ τοίνυν αὐτῶν προχυθέντες τὸ πλῆθος, ἀριθμῦ κρεῖττον ὄν, ἐξεφέρετο· τὸν γὰρ περὶ ψυχῆς τὸ καταπῖπτον ἀνέσειε κίνδυνον, μηδενὸς τῶν ἁπάντων λυπηρῦ τινος ἐν πείρᾳ γεγενημένε, πλὴν τῦ εὐλαβῦς ἐκείνε παιδίε, ὃ ἀνδράποδόν τινος τεχνίτε ἐτύγχανεν ὄν. φωνῇ γὰρ βροντώσῃ, πρὸς δὲ καὶ ὄψει ἀςραπῆς κρείττονι τῆς Θεομήτορος, τὸ φωνητήριον πηρωθὲν, ἄφωνον ἔκειτο. τῦ γὰρ ἡμισφαιρίε καταφερομένε ὡς εἴρηται, ἐκεῖνο πρὸς τὸν δεσπότην ὁρμῆσαν γενέσθαι, γυναίῳ ἐντυγχάνει πρὸ τῶν βασιλικῶν ἐςῶτι πυλῶν, πρὸς εὐχὴν τὰς χεῖρας μετὰ δακρύων διαίροντι. ἥτις δὴ κινεμένῳ τῷ νεανίσκῳ, ςῆθι, μὴ πρόσω βαῖνε, γεγω-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γεγωνότερον ἀνεβόησε. τῷ ἐξαισίῳ τοίνυν τῆς βοῆς ὁ νεανίσκος ἐμβρόντητος γεγονὼς, καταπίπτει πρὸς τοὔδαφος, τὸ φθέγμα σβεσθεὶς, τῷ τοῦ φθέγματος τῆς Θεομήτορος ὑπερβάλλον τι· καὶ τρίτον ἦμαρ οὕτως ἐπεμετρήθη ἔχοντι τῷ παιδί. ἀλλ' ἐς ὕστερον τῆς τοῦ λόγου μητρὸς, τὴν γλῶτταν ἀναῤῥωσάσης αὐτῷ, καὶ πηγασάσης τὸ τοῦ λόγου ῥεῦμα, τῇ γλυκίῳ μέλιτος ῥεούσῃ ταύτης πηγῇ, ἐπεὶ πρὸς τὴν προτέραν ἕξιν μετεληλύθη, τήν τε ὄψιν ἅπασι διηγήσατο, καὶ ἀνεῖπεν, ἅπερ ἤκουσε, γλῶσσαν πρὸς δόξαν ἐγείρων τῆς Θεομήτορος. τὸν δὲ δὴ νεὼν οὕτω κατασεισθέντα, καὶ διεῤῥυηκότα, τῷ ἐκ μακεδόνων βασιλείῳ πρὸς

Θαῦμα ιά. βουλῆς γίνεται. Οὗτος γὰρ τηνικάδε τὰ τῆς βασιλείας σκῆπτρα διεχειρίζετο, ἐξ αὐτῶν κρηπίδων ἀνατρέψαι, καὶ παραλῦσαι τὸ τέμενος, πρὸς τὸ μεῖζόν τε καὶ ἀσφαλέστατον μετασκευασαμένῳ ἐς φιλοτιμίαν βασιλεῖ πρέπουσαν, ἀναγεῖραι αὖθις. πρός τινων δὲ τῆς ὁρμῆς ἀναχαιτισθεὶς, καινίζει μὲν, ἅπαν τὸ κατεσπαραγμένον, καὶ ἀνορθοῖ. τὸ δὲ ἡμισφαίριον, τέχνῃ λιθοδόμων ἐναρμοσάμενος, εἰς τὸν νῦν ὁρώμενον μετήνεγκε κόσμον τὸ ἀσφαλὲς αὐτῷ πρυτανεύσας. ἐπεὶ δὲ τὰ τῆς οἰκοδομῆς αὐτοῖς εἰς πέρας ἐγίνετο, καὶ βραχὺ τοῦ χρόνου διαλυπόντος, ὡς ἐκτακῆναι μὲν τὸ ὑγρὸν καὶ ἀπολωφῆσαι, ἐν ἐπιτηδείῳ δὲ γενέσθαι, καὶ τὸν ἔσωθεν διὰ λεπτῶν ψηφίδων κόσμον εἰσδέξασθαι, κλίμακας ἐξ ἐδάφους μέχρις ἐς τὴν ὑπερβολὴν σανίσιν ἄλλαις ἀναλόγως ἐνθέμενοι, ὡς ἂν τοῖς ἱστορεῖν εἰθισμένοις εὐέφοδον εἴη ἐντεῦθεν χρώμασι, καὶ χρυσῷ κατακεχυμένῳ τὸ ἐνδέον ἀναπληροῦν, καὶ οὕτως ἐναβρύνειν τὸ τέμενος, ὕλῃ παντοίᾳ καὶ τέχνῃ ὡραϊζόμενον. τῆς ἑορτῆς ἤδη ἐκτυπωτερον διασκευαζομένης τῆς καθόδου τοῦ πνεύματος, καὶ ταῖς ποικίλλαις ἐξαλλαγαῖς τῶν ἐν ταῖς ψηφίσι χρωμάτων σεμνυνομένης, τηνικαῦτα τὰ βάθρα τῶν στύλων ἀπαγορεύσαντα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σαντα πρὸς τῶν ὑπερκειμένων τὸ μέγεθος, χαλῶντα τὸν εὔτονον, διελύοντο, ἡ δ᾽ ἐπισκευὴ ἐκείνη πανταχόθι διαῤῥαγεῖσα, πρὸς τὰ κάτω ὑπείγετο, οἱ γεμὴν εἰκονισαὶ, ϗ ζωγράφοι, ϗ ὅση περὶ ταῦτα διεπεπόνητο χεὶρ ἀθρόον ὁρῶντες ἐπιστάντα τὸν ἄφυκτον κίνδυνον, πάντα θέμενοι ἐν δευτέρῳ, πρὸς τὴν μόνην ὑπολελειμμένην ἐλπίδα τὴν Θεομήτορα γίνονται. ϗ ἐπεὶ τὸ πάναγνε θεοτόκε βοήθησον οὑτωσὶ, μιᾷ γλώττῃ πάντες ἐφώνησαν, θερμὰ τῶν ὀφθαλμῶν, ϗ δάκρυα προϊέμενοι, εἷς τῶν τοιούτων, ᾧ θέμις ἦν τὰ τοιαῦτα ὁρᾷν, ὑπερκύψας τοῖς κάτω, αὐτὴν ὡς εἶχε σχήματος ἑώρα τὴν Θεομήτορα, ἀναῤῥιχωμένην τοῦ ἄμβωνος, ϗ ἐς τὴν ὑπερβολὴν αὐτοῦ διαβᾶσαν, χερσὶν ἐς μῆκος ἐκτεταμέναις, τὸ καταφερόμενον ἐκεῖνο σύμπαν τῶν κλιμάκων διαβαστάζειν ἀνέχουσαν, ϗ ἠρέμα ἐνδιδοῦσαν τῷ βάρει, μὴ αἴφνης ἐῶσαν καταῤῥαγῆναι, ϗ συγκαταῤῥάξαι τὸ ἐποχούμενον. ϗ τοῦτο ἦν ὁρᾷν οὐκ ἀνιδρωτὶ διενεργουμένην, ἕως οὗ, ὡς ἐφ᾽ ὁμαλοῦ, ϗ λείου, ϗ οἱονεί τινος μαλακῆς πόας κατακλιθέντας τῷ ἐδάφει τοὺς ἄνδρας παρέπεμψε μηδενὸς καθοιονδήποτε τῶν μελῶν πεῖραν ἐγνωκότος, τοῦ θλίβοντος, ϗ ταῦτα τηλικούτου γεγονότος συμπτώματος. ἔτι γὰρ ἐκείνοις τὴν ἐπικουρίαν ἐκκαλουμένοις, παρῆν, ϗ τὸ κατάῤῥοπον ἀνεκούφιζε, νοῦ ταχύτερον ἐπιφθάνουσα. οὕτως ἀεὶ ϗ πᾶσι μὲν δεομένοις ἐπιφθάνει τὴν αἴτησιν πανταχόθι, μάλιστα δὲ τῷ οἴκῳ ταύτης ἐπιφοιτᾷ, ὥσπερ ἐπαγαλλομένη τῷ χώρῳ, ὅθεν ϗ ἡ τῶν θαυμάτων διαῤῥέει πλημμύρα ἑκάστοτε.

Θαῦμα ιβʹ.

Οἷον δὲ ϗ τοῦτο τῶν λοιπῶν πρὸς ἔκπληξιν οὐκ ἀπεοικὸς, ἐκκείσθω τῷ λόγῳ, ἅμα μὲν ἡδονῆς ϗ χάριτος ἔμπλεων, πίστιν δ᾽ ἐν τεῦθεν οὐ βραχεῖαν τεκμηριώσασθαι ἔνεστιν, ὅπως ἡ τοῦ θεοῦ μήτηρ διαγέγονεν ἐπιφοιτῶσα τῷ τόπῳ, ϗ ἀποστόργως ἔχουσα, διατρίβειν ἑτέρωσεν, ἐς τὴν πρὸς ἕω τετραμμένην ἁψῖδα πρινή-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρινὴ πεπονηκότα καταπεσεῖν τῶν νεὼν, εἰκόνες ἦσαν ταύ-
τῃ διτταὶ ἐχρώμασι, καὶ κηρῷ ἐκτακέντι καὶ διαχυθέντι
ὡραϊζόμεναι, ἀλλ' εὐθέτῳ ψηφῖδι ἐμπαγείσῃ ἀναπληρού-
μεναι. ἡ μὲν πρὸς ἐμφέρειαν ἀκριβῶς τὴν Θεομήτορα εἰ-
κονίζουσα. ἑτέρα δὲ, τῷ πρωτοστάτῃ ἀνεῖτο τῶν ἄνω δυνά-
μεων Γαβριήλ. πνεύματος δὲ ἄρα χάρις ταῖς μορφαῖς ἐμ-
φιλοχωρήσασα, ἐνεργεῖν ἐποίει τεράστια. αὗται δὲ τοῖς
λοιποῖς συμπεσοῦσαι, οὐ μόνον οὐδὲν ἐφάνησαν πεπονθεῖαι,
διαῤῥυεῖσαι, καὶ τοῦ ἀρχετύπου παρεκτραπεῖσαι, ὥστε καὶ εἰς
δεῦρο ἔτι διαφαίνονται τὸν ἀρχαῖον τύπον ἐξεικονίζουσαι·
καὶ ταῦτα τῶν ἐφ' ἃ ἱδρῦσθαι πρώην συνέβαινεν, ὀπτὴ δὲ
πλίνθος τοῦτο καὶ τίτανος, εἰς λεπτὴν κόνιν τῇ συμπτώσει
διαλυθέντων. ταύτας τοίνυν μετὰ τὴν σύμπτωσιν ἀτημε-
λήτως που ἐῤῥιμμένας, Ἑλένη μαγίστρισσα, ἡ Ἀρταβάσδῳ
ἐκείνῳ πρὸς γάμου κοινωνίαν συνήρχετο ἔννομον, ἐῴκει δὲ
ἄρα θερμότερον περὶ ταύτας διακειμένη, καὶ πατρόθεν τὰ
τῆς εὐεργεσίας ὥς πέρ τινα κλῆρον κεκομισμένη, τὸν τῆς
μονῆς προϊστάμενον ὑπελθοῦσα, ἴσως δὲ καὶ χρήμασι διαφ-
θείρασα, καὶ πειθώ τινα τοῖς θερμοτέροις τῶν λόγων ἐπα-
γαγοῦσα, λαμβάνει. καὶ σπουδῇ τῇ πάσῃ παρὰ τὴν ἑστίαν
τοῦ ἀδύτου ταύτην ἐνθεμένη θαλάμου, φωταγωγίαις, καὶ
θυμιάμασι τὸν πόθον αὐταῖς ἀφωσίου, γαννυμένη τῷ τῆς
ἡδονῆς ὑπερβάλλοντι, ὅτι δὴ τὴν κοινὴν χάριν, σφετέραν
εἶναι ξυνέβη. καί ποτε μιᾷ τῶν νυκτῶν πρὸς ὕπνους ταύτῃ
δὴ τετραμμένῃ, ἡ Θεοτόκος ἐφίσταται, καὶ ὀνομαστὶ ταύτην
καλέσασα, Ἑλένη λέγει ἀνάστηθι, καὶ πρὸς τὰ οἴκοιμε πά-
λιν ἀπαγαγοῦσα, κατάθες. οὐ γάρ μοι τοῖς ἐν ταῦθα ἐστὶ
φίλη διατριβή. ἐκείνη τοιγαροῦν φαντασίαν εἶναι, καὶ ἄλ-
λως ὄναρ κενὸν οἰηθεῖσα, εἴτε τῷ μὴ θείαν εἶναι τὴν ὄψιν,
εἴθ' ἑκοῦσαν ἀγνοῆσαι προσπλάσασθαι, τῷ τῶν εἰκόνων ἀ-
κριβῶς ἔχεσθαι, καὶ τῷ τούτων πόθῳ ἐκτετηκέναι. ὅ γάρ

τις μὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τις μὴ βούληται, ὁ δὲ τοῖς περὶ ἐκείνου λόγοις ϗ ὄψεσι πάντως εἴωθε διατρίβειν, ϗ εἰ τῶν πρὸς τῷ ἂ πάσχειν ἐπείγεται μᾶλλον συμβαίνει δέξασθαι, τὸ γενοῦν συσκιάζειν ἐπεχείρει τὸν ὄνειρον, ἐκοῦσα δῆθεν ἑαυτὴν ὑποκλέπτουσα. ἀλλὰ καὶ αὖθις ἡ Θεοτόκος ἐπίσης ἔχουσα ϗ θέσεως ϗ μορφῆς, κατὰ τοὺς ὕπνους αὐτῇ γίνεται ἐμβριθές τι, ϗ ὀργίλον τὸ ἦθος ἐξεικονίζουσα, καί φησιν· εἰ μὴ θᾶττον διαναστᾶσα, ἡνίκα σε ϗ ὁ ὕπνος ἀνήσῃ, πρὸς τὸ πρότερον ϗ φίλον ἀπαγάγῃς με ἐνδιαίτημα, ὡς δῆσοι ϗ πρότριτα παρηγγύησα, εἰδέναι χρὴ, ὡς μεταμέλῳ χρήσῃ, καιρίαν δεξαμένη πληγήν. ἡ δὲ ϗ πάλιν βεβακχευμένη τῷ πόθῳ τοῖς ὁμοίοις διέκειτο, ὑποκρινομένη ἐκοῦσα τὸ ἀγνοεῖν, ϗ ἥκιστα θείαν εἶναι διατεινομένη τὴν ὄψιν, ὅθεν καὶ λαμπάσι, καὶ φωταγωγίαις μᾶλλον ἐπειρᾶτο πλείοσι τὴν εὐγνωμοσύνην ἐπιδεικνύναι, καὶ τὴν πόθον αὐτῆς ὑπεκκαίειν. φλὸξ τοιγαροῦν ποτε τοῦ θαλάμου ἀθρόον ποθὲν ἐκπηδήσασα, ᾧ αἱ εἰκόνες ἦσαν περικλειόμεναι, ϗ τοῦτον ἐξ ἀπίνης χειρωσαμένη, τὰ κύκλῳ ἐνέμετο, ἔπειτα ἐξ ὀλίγου εἰς μέγιστον ἀναδραμοῦσα, τῶν κεράμωντε ἥπτετο ϗ δέος μέγα ἀνέσειεν, ἅπαντα τὸν οἶκον αὐτῇ διαπυρπολεῖσαι. ἡ γὰρ φλὸξ σὺν ἤχῳ βρέμουσα, καθεῖρπεν ἁπανταχοῦ, ϗ ἔφθασεν ἂν ὁ οἶκος ἅπας ἀναλωθεὶς, εἰ μὴ αὐτὴ κατὰ τὴν αὐλαίαν γεγενημένη, θερμοῖς τοῖς δάκρυσι κατασβέσαι τὸ φλέγον ἐπεκαλεῖτο τὴν Θεομήτορα, τὸ ἀνήκοον διομολογοῦσα· κατάσβεσον ἀνακράζουσα πηγὴ τοῦ ὄντως διειδοῦς νάματος, τὴν πάντα καταφαγεῖν ῥύμην πυρὸς τὸν ἐμὸν οἶκον ὁρμῶσαν, ϗ στῆσον τὴν χύδην ῥέουσαν φλόγα. σὺ γὰρ τὸ φλεγμαῖνον τῆς ἁμαρτίας κατέσβεσας, ϗ τὴν τοῦ θανάτου ῥύμην πυρὸς δίκην τὸ ἀνθρώπινον καταδαπανῶσαν, ὡς ὕλην εὔπρηστον, τῇ σῇ δυναστείᾳ βιασαμένη, τῆς ὁρμῆς ἔστησας· ϗ νῦν τῷ σῷ τῆς χάριτος δροσισμῷ, μᾶλλον δὲ τῷ σῷ τῆς πηγῆς ὕδα-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τι, τὸ φλέγον τὴν οἰκίαν, οὐχ ἧττον δὲ κἀμὲ πυρπολοῦν, καταμάρανον. οὐ γὰρ εἶναι πάντως προσῆκον πηγὴν ἀέναα βρύουσαν, μὴ νάρκην ἐνδεῖναι βραχυτάτῳ πυρὶ, ἀλλὰ σβέσον τοῦτο, ϗ ἅμα ἕω κατὰ τὴν σὴν προσταγὴν, ἀνηκέστῃ δὴ τῇ πομπῇ ἀπαγαγεῖν σπεύσω οἴκαδε τὸ ἐκτύπωμα. ταῦτα λέγουσα, ϗ ὅρκοις κατησφαλίζετο τὴν ὑπόσχεσιν. ἣν οὖν ὁρᾷν αὐτίκα τὸ ἀγριαῖνον ἐκεῖνο τοῦ πυρὸς συστελλόμενον, ϗ μετὰ βραχὺ ἀνὰ πόδα χωρῆσαν, ϗ τῆς ὁρμῆς λῆξαν ἐκμαρανθέν. ᾐδέσθη ϗ γὰρ τὰ τῆς Ἑλένης, ἐλεεινὰ ϗ πίστεως ἔμπλεω ῥήματα, ϗ ἣν ἀνῆψε φλόγα δι᾽ ἐπαινουμένην παρακοὴν, ταύτην ἐξ ἀντιῤῥόπου θερμὰ δροσίζοντα κατέσβεσε δάκρυα, ϗ τὸ περιῤῥεῦσαν πλῆθος, ἐξέστησαν. πλὴν τῷ καινῷ δὴ τούτῳ, ϗ ἕτερον συνέδραμε μέγιστον. λήξαντος γὰρ παντάπασιν τοῦ πυρὸς, εὑρέθησῶον τὸ οἴκημα, αἵ τε λυχνίαι κατὰ χώραν καιόμεναι, ϗ ταῖς εἰκόσι τὸ ἀβλαβὲς περιῆν, ἐν μηδενὶ λυμήνασθαι τοῦ πυρὸς δυνηθέντος. ἔνθεν τοι ϗ προϊαίτερον ἀναστᾶσα, (πολὺ δὲ πλῆθος τὸ καινὸν τοῦ θαύματος συνελέξατο) ψαλμοῖς ϗ ὕμνοις, προσέτι δὲ ϗ ἀρώμασιν ἐξαισίοις, Γεροῦ στίφους εὐσταλῶς ἡγουμένων, τὰς εἰκόνας αὖθις πρὸς τὸν ἐκ πολλοῦ ταύταις προσήκοντα οἶκον μεταβιβάζει· ἔνθα τοίνυν ταύτας κατέστησε, ϗ νέον θυσιαστήριον πήγνυσι, ϗ τὴν μνήμην τοῦ θαύματος, πλῆθος ἄπειρον ἐξιὸν τῆς πόλεως, ἐγκαινίζει ἑκάστοτε, πανδήμοις ὑμνῳδίαις γεραῖρον τὴν Θεομήτορα, κατ᾽ αὐτὴν δὴ τὴν πρώτην ἡμέραν τῶν νηστειῶν. τὸ γὰρ πρὸς ἑσπέραν τῆς προκαθαρσίμου κυριακῆς, τὰ τοῦ θαύματος ἐπεγένετο.

Θαῦμα ιγʹ. Τῇ μαγιστρίσσῃ ταύτῃ Ἑλένῃ πολλὰ ϗ ἕτερα διεπράχθη τεράστια, παρὰ τῆς ἀειζώου πηγῆς, ἃ πάντα διελθεῖν τῷ λόγῳ, οὐ ῥᾷδιον, πλὴν ἀποχρήσει φάναι, ὅτι τούτων ἡ Θεοτόκος δημιουργὸς, ϗ παραστῆσαι πίστιν ἐντεῦθεν τούτοις, ϗ μέγεθος πεισθῆναι. ἀλλ᾽

ἐκ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκ πολλῶν ταῦτα δὴ προκείσθω ταῖς ἀκοαῖς βραχὲ ἄττα πρὸς ἔνδειξιν. πλήττει καὶ ταύτην νόσος τὰ περιγάστρια, καὶ τῆς νόσου νεανιευομένης τῷ χρόνῳ, ἡ τῶν οὔρων ἐπέχεται ἔξοδος. ἐντεῦθεν σκληραῖς ὀδύναις ἐπιεικῶς τὸ γύναιον δριμυσσόμενον, τῷ συνεχεῖ τοῦ πόνου, καὶ τῆς βοῆς τῷ ἐντόνῳ, ἀδιέξοδον παρεῖχε τὸ ἀναπνεῖν, κἀκ τῶν ἄνωθεν καὶ κάτω ἐπεπολιόρκητο, καὶ πρὸς θάνατον κατηπείγετο. οὕτως οὖν ἔχουσα, τὸ ζωοδόχον ὄντως ἐκ τῆς Ἱερᾶς πηγῆς ὡς ἔθος μεταστέλλεται νᾶμα, καὶ θέρμῃ πυρὸς ἀμβλείᾳ τοῦτο διαθερμάνασα, χιόνι γὰρ οἶμαι καταῤῥύτῳ τὸ σύμπαν ἐπεπολίωτο, ἐν ταυτῷ λουτρῷ καὶ λύτρῳ τοῦ κακοῦντος ἐχρήσατο. τῆς ἐκπνοῆς οὖν καθὰ προσῆκε σχούσης, τὸ ἆσθμα, καὶ ἡ τῶν οὔρων πηγὴ, αὐτῇ ἀνεφράγνυτο, καὶ ἀθρόον τὰ ἔνδον εὖ διεσκεύαστο, κατὰ χώραν προχωρούντων ἑκάστων. Καὶ ἕτερον δὲ τῶν δύο οὐκοῦν καταδεέστερον λέξων ἔρχομαι. τῶν γὰρ παίδων τελευτᾶν αὐτῇ μελλόντων, ὡς πᾶσαν ἀνθρωπίνην ἐπικουρίαν ἀποθεμένη, παρὰ τὸν νεὼν ἐγένετο τῆς πηγῆς φοράδην διαβασταχθέντων τῶν παίδων. ἐπειδήπερ ἡμέραις τισὶν οὐ τοῦ λυποῦντος τὴν ἀναψυχὴν προβαίνουσαν καθεώρα, εἰς δάκρυα τρέπεται, καὶ φωνὰς (καὶ τί γὰρ εἰ μήτηρ ἦν, καὶ οὐχ ἧττον αἱρουμένη θανεῖν) οἰκτειρὸν λέγουσα τὴν ἀθλίαν ἁγνὴ, καὶ τὸ μόνον τοῦ γένους μοι ζώπυρον, τὸ περιλελειμμένον μοι παραμύθιον χάρισαι, κορωνίς σοι κείσθω καὶ ἡ τῶν παίδων ὑγίεια τοῖς λοιποῖς. θράττει γάρ μου τὴν καρδίαν τούτων ὁ θάνατος, καὶ πολλῷ μοι βέλτιον τὸ θανεῖν, ἢ τὸν μόρον τούτων ἀναχέεσθαι θεάσασθαι, δεινόν τι χρῆμα κέντρον τῆς ἀπαιδίας· σύ μου λύσαις τὴν συμφορὰν, σὺ γὰρ καὶ τὸν σάλον ῥᾴδιον τῆς ψυχῆς κατευνάσαις, οἶδας τὰ τῆς φύσεως κέντρα· οἶδας οἵαις πόθων πυρκαϊαῖς, αἱ μητέρες πρὸς τοὺς παῖδας ἐκκαίονται. ἵλεως, ἵλεως ἔσο μοι, καὶ μὴ περιίδῃς τὼ παῖδε δι' ἐμὲ τὴν

Θαῦμα ιδ.

δει-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δειλαίαν βασανιζομένῳ· ταῦτα δὴ καὶ τὰ τούτοις ὅμοια λέγουσα, κατὰ βραχὺ τῷ τῆς λύπης βυθῷ ἐνδοθεῖσα πρὸς ὕπνον τρέπεται, καὶ αὐτὴν διώμνυτο τὴν τοῦ λόγου μητέρα Ἰδεῖν, τῷ ἐπιεικεῖ κεράσασαν τὴν ἐμβρίθειαν, καὶ τάδε σφοδρότερον καταλέγουσαν. ἀπείρηκα γύναι τῷ σῷ τῶν δακρύων ὄμβρῳ γενομένη διάβροχος· τί βοᾷς ἀναρρηγνῦσα δι' ὄχλου γίνῃ τῷ πράγματι. ἀλλ' εἰ καίποτε τὸ ἐμὸν δὴ τοῦτο ἐπιεικῶς ἄγαν μέλος συντεθειμένον ἀνὰ στόμα εἶχες, τὸ, οὐδεὶς προστρέχων ἐπὶ σοὶ, κατῃσχυμμένος ἐκ πορεύεται ἐκ σοῦ παρθένε Θεοτόκε, οὐκ ἄν μου τοσοῦτον εἶχες καταβοᾷν, τῆς δὲ συνθεμένης, καὶ ἀεὶ ἀνὰ στόμα διατεινομένης ἔχειν τὸ μέλος, ἡ Θεομήτωρ ἄχρις εἰς τέλος τὸ μέλος συμπεράναι προστάσσει· ὡς δὲ καὶ τὸ λαμβάνει τὸ δώρημα τελευταῖον ἐπήγαγε πρὸς τὸ συμφέρον τῆς αἰτήσεως, ἡ Θεοτόκος αὖθις, ἀλλ' ἐπιγνῶναί σε γύναι χρεὼν, ὡς λυσιτελήσει τούτοις μᾶλλον τὸ μὴ περιεῖναι τοῦ ζῆν. σοὶ μὲν γὰρ ἀγνοίας βυθὸς κατακεχυμένος, ἐμποδὼν καθίσταται γνῶναι, οἷς οἱ παῖδες δεινοῖς ἐμπαγήσονται· εἰδὲ παριστάμενον ἦν τὸ δεινὸν, πάλαι ἂν τοῖς ἴσοις ἐκέχρησο κατ' αὐτῶν, τῇ περὶ τοὺς παῖδας φιλοστοργίᾳ. ταῦτα δὴ πρὸς λόγους εἰποῦσα, διέπτη· οἱ δὲ παῖδες μετὰ βραχὺ τοῦ βίου ἐξίστανται. κατατίθησι δ' οὖν ὅμως αὐτῶν τοὺς νεκροὺς, πρὸς τῷ θυσιαστηρίῳ ἐκτὸς, ὅπερ αὐτὴν ἀναγεῖραι, ὁ λόγος φθάσας ἐδήλωσεν, οὐ περιπαθές τι καὶ οἷον εἰκὸς γυναῖκα διαπραξαμένη, ἀλλὰ τῇ ἐμβριμήσει τῆς Θεομήτορος, σώφρονι λογισμῷ. τὸ τοσοῦτον πάθος διαβαστάσασα· χρόνῳ δὲ οὐ μακρῷ, καὶ αὐτὴ τὸν βίον ἀπολιποῦσα, ἐν δεξιᾷ εἰσιόντι, πρὸς τῷ τῆς φιάλης νάρθηκι κατατίθεται, καὶ ζῶσα, καὶ μετὰ θάνατον οὐκ ἀποστῆναι τῆς πηγῆς δίκαιον κρίνασα, τῷ τῶν εὐεργεσιῶν ὑπερβάλλοντι· αὕτη καὶ πολὺ χρυσοῦ καὶ ἀργύρου, καὶ ἄλλα οἷς δὴ τέμενος Ἱερὸν ὡραΐζεται,

τῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ νεῷ ἐπαφίησιν, ἵνα καὶ μετὰ μόρον εἴη τοῖς ἀναθήμασι, τὸ εἰκὸς ἀποτιννῦσα τῇ τȣ͂ λόγȣ Μητρί. πέλαγος ἀπείριτον ἐκ μιμοῦνται, τὰ τῆς πανάγνȣ ἐπιῤῥέοντα θαύματα· ὡς γὰρ ἐπ' ἐκείνων ȣ̓κ ἄν τινι ῥᾷον εἴη τὸ βάθος ἀπαριθμεῖσθαι, ϗ τὰς τῶν κυμάτων ἐπιῤῥοὰς, ȣ̔́τως ȣ̓δὲ ταύτης ἄν τις τὸ πλῆθος διαμετρήσαιτο. ἀλλὰ λέγειν ἀνάγκη, καθάπαξ ἀποτολμήσαντα τῷ πελάγει τῶν θαυμάτων τῆς πηγῆς διανήξασθαι. Μοναχή τις ἐκ τῆς πέραν ἠπείρȣ, σκληρῷ τινι προσπαλαίȣσα δαίμονι, κατὰ κρημνῶν ὠθοῦντι, ϗ ἄλλ' ἄττα τῶν ἀσέμνων καὶ πράττειν, ϗ λέγειν βιαζομένῳ, ἐπειδὴ πρὸς τὸν τῆς πανυμνήτȣ διεκομίσθη νεὼν, μικρὸν τȣ͂ κακȣ͂ντος ῥαίσασα, νηστείαις ἑαυτὴν ἐδίδȣ, ὑπομαραίνȣσα τȣ́τῳ τὸ οἰκητήριον, ϗ τὴν ὕλην ὑποσπῶσα τῷ παλαμναίῳ πυρὶ, τοῖς ἐκ τῶν ὀφθαλμῶν καταῤῥέȣσι δάκρυσι. τὸ δὲ δὴ δαιμόνιον, ϗ πονηρὸν πνεῦμα κατὰ τὸ ἀκάθαρτον ἐκεῖνο πνεῦμα, ϗ ἰταμὸν ἀπολῦον τὴν ἄνθρωπον, ϗ δι' ἀνύδρων, ὡς ἔοικε, πορευόμενον, βραχείας τε διαλιμπάνον ἡμέρας, πάλιν ὑπέστρεφεν. ἔμελλε δὲ αὐτῷ κακῶς τȣ͂ ὕδατος τῆς πηγῆς ἀπολαῦσαι, ὥσπερ πάλαίποτε οἱ κατὰ τῆς τῶν χοίρων ἀγέλης χωρήσαντες, ϗ ὑποβρύχιοι τῇ θαλάσσῃ γενόμενοι. ἦν ȣ̓͂ν ἰδεῖν αὐτίκα τὴν μοναχὴν στροβȣμένην, ϗ ἀναβρασσομένην, δεινόν τε ὑπορχουμένην, πῦρ τῶν ὀφθαλμῶν ἀφιεῖσαν, ϗ ὁ ἀφρὸς ἐς περιττὸν ἀνεῖρπε κατὰ τȣ͂ στόματος· ὄψιν δ' ȣ̓͂ν τινα ἐναργῶς καθεώρα, ἡνίκα τȣ͂ συντρίβοντος ἀπιόντος, σωφρονεῖν ἠναγκάζετο· κἀντεῦθεν αὐτὴ μὲν ἀπηλλάγη ταῖς τῆς πηγῆς ἐπιῤῥοαῖς, τȣ́τῳ τὴν εἴσοδον ἀποκλείσασα· τί γὰρ ἐκείνῳ κοινὸν, ϗ πηγῇ διειδεῖ, ἀκαθάρτῳ γε ὄντι ἐφάπαξ, ϗ ἐν ἀνύδροις ἠρημένῳ βιȣ͂ν, κἂν ἑτέρῳ τρόπῳ τὸν ῥυπαρὸν, ϗ δίυγρον ἀσπάζεσθαι εἴωθεν, ὥσπερ χοῖρος βορβόρῳ ἐγκαλινδȣ́μενος, οἷς ϗ ἐπιτετράφθαι,

Θαῦμα ιϛ'.

θαι, διατρίβειν ἠξίου· ἀνάλογον τῇ διαίτῃ, ϗ πολιτείᾳ
ϗ τὴν οἴκησιν ἀσπαζόμενος. ἡ δὲ ὄψις, εἶχεν οὕτως· ὁ-
πηνίκα τοῖς μοναχοῖς τοῦ μεγίστου ἐξιοῦσι νεὼ, σύνηθες δὲ,
ὡς ἔοικεν ἦν, μετὰ τὴν ἑωθινὴν ἱκεσίαν ὑπὲρ τοῦ κοινοῦ
πρεσβείαν ποιεῖσθαι, ϗ διὰ τοῦ εὐκτηρίου τῆς Θεομήτο-
ρος Ἄννης παραγινομένοις, ἐς τὴν καταφυγὴν τοῦ ἱεροῦ
ἁγιάσματος γίνεσθαι, τὴν Θεοτόκον ὁρᾷν ἔλεγε προπο-
ρευομένην τοῦ ἱερέως, ϗ ἀφηγεῖσθαι αὐτοῖς τῆς ὁδοῦ, τὰς
βαθμίδας εὐσταλῶς καταβαίνουσαν, ϗ ὑπεράνω τῆς γῆς βα-
σιλικῶς διεσκευασμένην ἐκ δεξιῶν τοῦ σωτῆρος ἵστασθαι, ἀ-
ποικίλλως ποικιλλομένην, ϗ περιβεβλημένην, οὐκ ἐν κροσωτοῖς
ἱματισμῶν διαχρύσων, ἀλλὰ ταῖς ἐκ τῶν ἀρετῶν ἀγ-
λαΐαις, κατὰ τὴν δαυιτικὴν ἐκείνην βασίλισσαν, ϗ τοῦ νά-
ματος ἀπαρυομένην, τὸν ἐκεῖσε χῶρον πάντα, ϗ τοὺς προ-
σιόντας καθαγιάζειν· διὰ τοῦτο γάρ φησι καὶ αὐτὴ ἐκκρε-
μὴς τοῖς ἄνωθεν καθορῶμαι, ἀφεστάναι οὐκ οὖν ἀνεχομένη
ῥᾳδίως τοῦ καλοῦ ἐκείνου θεάματος· τοῦτο οὐχ ἅπαξ, ἀλλὰ
ϗ αὖθις ϗ πολλάκις ἰδοῦσα ϗ διηγησαμένη, ἀνωτέρα τε τοῦ
κακοῦ γενομένη, ϗ ἐς τὸ παντελὲς σωφρονήσασα, τὸ λεί-
πόν τε τοῦ βίου θεοφιλῶς διαζήσασα, πρὸς τὸν τῆς παρ-
Θαῦμα θένου μεταβαίνει υἱόν. Καὶ τοῦτο δὲ τοῦ ἴσου θαύματος
ιϛ'. οὐκ ἐνδέον, ἀλλὰ συγγενὲς οἷον, ϗ τῷ πάθει καὶ θαύμα-
τι, ἑξῆς προκείσθω τῷ φθάσαντι. ἐθιμόν τινι τῶν ἐκ πλού-
του περιφανῶν, δι' ἔτους τῇ πανάγνῳ, ἀκμάζοντι βαλλαν-
τίῳ, τὰ τῆς ἑορτῆς αὐτῇ ἐκπληροῦν, πέντε πρὸς εἰκάδι
τοῦ μαρτίου μηνός. καί ποτε ταύτην, ὡς ἔθος, ἀναπληροῦν-
τι, ἐπεὶ τὰ πρὸς ἑσπέραν τετέλεστο, τῷ περὶ τὴν ἑορτὴν
πόνῳ, τῶν ποδῶν αὐτῷ κεκμηκότων, ἐπὶ στιβάδος ἀνακλί-
νεται τῆς συνήθους· ἐπίσης δὲ αὐτῷ ϗ τὸ γύναιον, πρὸς ἑτέ-
ραν μετεχώρει κατάκλισιν, ὡς ἂν τὸν κάματον βραχύ τι
τῶν μελῶν διαλύσαντες, νεανικώτερον πρὸς τὰς ὁλονυκτίους
ψαλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μωδίας ἀντέχωσιν. ὁ μὲν οὖν ἀνὴρ πρὸς ὕπνον αὐτίκα τραπεὶς, ἔκειτο. τῇ γυναικὶ δὲ ϗ αὐτῇ ἀδρανοῦς οἷον, ϗ κατεψευσμένου παραγενομένου τοῦ ὕπνου, πτηνόν τι τῶν αἰσχρῶν τὴν ὄψιν, ϗ ὅστις ἂν ἰδὼν εὐθὺς οἰωνίσαιτο, ἐξεναντίας τῷ τοῦ λευκοῦ χρώματι ἀποστίλβον, ἐς βάθος. κόρακι δὲ ἐῴκει, τοῦτο δήπουθεν τῆς οἰκίας χύδην προσπτὰν, διὰ τοῦ στόματος αὐτῆς ἔδοξεν εἰσρυῆναι, ϗ αὐτίκα ἠγριαίνετο, ϗ ἐστροβεῖτο, ϗ κατὰ κάραν ὠθουμένη τῷ σκίμποδι, ἀφρὸν ἀνίει διὰ τοῦ στόματος, ϗ φοβερά τις ἦν προσιέναι τῷ διαστρόφῳ τῶν ὄψεων. φόρτος οὖν ἔωθεν τοῖς ὑποζυγίοις γεγενημένη, πρὸς τὴν ζῶσαν πηγὴν ἀναφέρεται· δεινῶς δὲ ταῖς ἐκ τοῦ στροβοῦντος ἔνδοθεν διαμαστιχθεῖσα, ϗ ἀσεμνά τινα τῶν ῥημάτων, ὅσα ἐς βλασφημίαν ἀνήκει, διατωθάζουσα, ἐπειδήποτε ϗ πρὸς τὸ μετασχεῖν ἐλέους τῇ Θεομήτορι ἐδέδοκτο, ἡ γυνὴ σφοδρότερον τοῦ πνεύματος ἀντιπνεύσαντος, μυρίῳ σάλῳ ἐκ ταραχθεῖσα, ἀκαθέκτως εἶχεν, ὡς εἰς ἔλεον μὲν ἐκκεῖσθαι τοῖς κατιδοῦσι, φρίττειν δὲ τοῦ κακοῦντος ἐς τοσοῦτον τὴν μάστιγα. τὸ γὰρ δαιμόνιον ἐκεῖθεν ἀπελαυνόμενον, ἐπειδὴ τοῦ προσήκοντος οἰκητηρίου ἀφίστατο, διαρρῆξαι αὐτὸ κατηνάγκαζεν. ἀλλ' οὕτω τῶν δεινῶν ἔχουσα, διανίσταται, ϗ πάντων ἐκκλινόντων τὴν ὄψιν, ἐκείνη προσαρασσομένη τοῖς τοίχοις, καὶ παραπαίουσα, πρὸς τὴν ἐξ ἐλαίου φωταγωγὸν γίνεται, ϗ τὸ ὑγρὸν αὐτῆς σύμπαν τοῦ στόματος καταχέασα, τὸν πονηρὸν ἔνοικον ἀπελαύνει, τετριγότα, ϗ ὀδυρόμενον· ἔδει γὰρ τὸν σκοτεινὸν ἐκεῖνον, ϗ ἄμορφον, τοῖς ἐγκάτοις ἐμπεφυκότα, τῷ ἐκ τῆς φωταγωγοῦ ἐλαίῳ διολισθῆσαι, ϗ τῶν ἔνδον ῥαγδαιότερον ἐκραγῆναι, ϗ οὕτω τῆς ἀρρήτου χάριτος παραπήλαυσε, τριπλῆς δεκάδος συντελεσθείσης τῷ ἀρρωστήματι. Τίς δ' ἂν τὸ κατὰ τὸν μοναχὸν Ματ- Θαῦμα ιζ'.
θαῖον παράδοξον σιωπῴη τῆς Θεομήτορος; ᾧ δὴ τὴν οἰ-

κονο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κονομίαν τῆς μονῆς ἐγκεχειρημένῳ, (Θεοφιλὴς δ᾽ ὁ ἀνὴρ, καὶ πνεύματι θείῳ τὸ βίον ἐπιμαρτυρούμενος) φθόνος πρός τινων, τοῖς καλοῖς εἰωθὼς ἐφεδρεύειν, ἐγείρεται. ὅθεν τῷ κρατοῦντι διαβληθεὶς, ὑπερόριος ἐν Χρυσοπόλει πρὸς τὸ τοῦ φιλιππικοῦ καθίσταται μοναστήριον. κατακαυχᾶται γὰρ πολλάκις καὶ ψεῦδος τῆς ἀληθείας, καὶ ἀκμαιότερον γίνεται, κἂν μὴ καὶ εἰς τέλος αὐτῆς περιγίνεσθαι εἴωθεν· ὁ μέντοι τῆς μονῆς ἐκεῖνος ἱερῶς ἐξηγούμενος, τὸν ἄνδρα ὁρῶν ἀρετῆς ἐς ἄκρον ἡμμένον, καὶ ὅ φησιν ἡ θεία γραφὴ, ἀναβάσεις ἐν τῇ καρδίᾳ τιθέμενον, πολλοῖς τε ὄντα κατάκομον προτερήμασι, καὶ πρὸς ποιμαντικὴν δεξιὸν, περιαιρεῖται μὲν αὐτῷ τὸ ἐκ τῆς ὑπερῤῥορίας πικρὸν, ἐφιεὶς ὅπη βουλομένῳ εἴη ἔχειν διατριβὴν, τά τε ἔνδον διοικεῖν ἐπιτρέπει. καί ποτε οὗτος ἐν τοῖς τοῦ νεὼ ὑπερῴοις ἐν τῷ ἀσφαλεῖ διεσκευασμένοις, τῷ ὕπνῳ ἐφεὶς ἑαυτὸν ἔκειτο, ἔνθα δὴ καὶ χειρὸς ἀρχαίας ἔργον ἡ Θεοτόκος ἐστήλωτο, οὐκ ἐντελῆ τὸν τύπον τῆς ὁλομελείας ἐξεικονίζουσα, ἀλλὰ μέχρι ζώνης αὐτὴν ὁ τεχνίτης, κατὰ τὸν ἀρχαῖον τύπον, διέγραψε, τὸν θεὸν λόγον, καὶ τροφέα τοῦ παντὸς ἐπιμαστίδιον ὑπανέχουσαν. φωνῆς οὖν ἐκ τοῦ σχεδὸν προσβαλλούσης ἀκήκοε· Ματθαῖε τοῦ ἐνταῦθα θᾶττον λεγούσης ἀπάρας, πρὸς τὸν ἐμὸν οἶκον τῆς πηγῆς ἀνασώθητι· ὑπηρέτην γὰρ σε διακονίας ἐμοὶ καταστῆναι βουλομένη ἐστίν. ὁ δὲ μοναχὸς τῷ σφοδρῷ τῶν ῥημάτων καταπλαγεὶς, ἐκεῖθεν διαναστὰς, κάτεισι μὲν τῶν ὑπερῴων. καὶ ἀωρὶ ἐφίσταται τῷ νεῷ· πρὸς εὐχὴν δὲ αὐτῷ τραπομένῳ, ἀγωνιῶντι τε, καὶ περιῤῥεομένῳ τοῖς δάκρυσιν, αὖθις φωνῆς ἑτέρας ἐνεχθείσης, ἀκήκοε τ᾽ αὐτὰ πάλιν ὑπαγορευούσης, καὶ προστιθείσης, τὸν γὰρ ἐμὸν νεὼν μετασκευάσεις πρὸς τὸ σεμνότερον, καὶ ὅς, ἀλλ᾽ ὑπερορίαν κατακριθέντι, δεδοικέναι πάντως συμβαίνει. ἀλλ᾽ ἐγὼ ὑπὲρ σοῦ λαλήσω, τῆς φωνῆς τὸ τρίτον ἀκήκοε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κήκοε. ϗ αὐτίκα ὄψις θεία τῷ τῆς μονῆς προεςῶτι γίνεται, λέγϐσα. τὸν μοναχὸν ὅσον τάχος, πρὸς τὴν σφετέραν μονὴν ἀνασώσασθαι. ἐπίσης δὲ ϗ τῷ τῶν σκήπτρων κρατϐντι, Βασίλειος ϐτος ἦν ὁ ἐκ μακεδόνων. ὁ βασιλεὺς τοίνυν πρὸς τὴν ὄψιν εὐθὺς διαθροηθεὶς, ἅμα ἕω πρὸς τὸ μοναςήριον πέμψας, τῷ προεςῶτι τὰ τῆς ὄψεως ἀπαγγέλειν προστάσσει. φθάνει δὲ καὶ ϐτος ἐπίσης τῷ βασιλεῖ προσιών· ϗ ἐπεὶ τὰ ἶσα διαγγέλλειν εἶχε, πρὸς θαῦμα τρέπει τὸν βασιλέα· ϗ ὃς, τὴν ἄδικον ἐξορίαν τῷ ἀνδρὶ λύσας, πρὸς τὸν τῆς Θεοτόκϐ πηγῆς ἐξαποςέλλει νεὼν, ϗ τὴν προςασίαν αὐτϐ μετὰ βραχὺ ἐγχειρίζεται, πάσης ἀρετῆς ἔμπλεον ἑαυτὸν καταςήσαντι. ἐντεῦθεν πᾶσι γνώριμος γίνεται, ϗ βασιλεῦσιν ἡδὺς ἐδόκει, τὰ εἰκότα διομιλϐμενος. μᾶλλον δὲ τῷ βασιλεῖ Λέοντι διὰ θαύματος ἤγετο, ὃς τῇ πρὸς τὸν ἄνδρα αἰδοῖ, τόν τε τῆς ἁγίας Α'ννης ἀνεγείρει νεὼν, ϗ τῷ τϐ μεγάλϐ νεῷ νάρθηκι κάλλος ἐξαίσιον περιτίθησιν, ἀμαυρωθέντι παρὰ Σκυθῶν, ὅτε τὴν θρακῶν ἐκεῖνοι καταδραμόντες, ἄρδην σύμπαντα κατηδάφισαν. καὶ μὴν ϗ τῇ ἱερᾷ, ϗ θείᾳ καταφυγῇ, περιελὼν ὅσον ἀκοσμίας ταύτῃ περιῆν τῷ χρόνῳ, τό τε λεῖπον ταῖς ψηφίσιν ἀνενεώσατο, ϗ παντὶ τῷ λείποντι παραχὼν τὴν χεῖρα ἐπέῤῥωσε, ϗ πρὸς τὸ εὐπρεπέςερον μετεσκεύασεν, ἀῤῥήτϐ καλλονῆς ἐμπλήσας τὸν χῶρον. τότε δὲ τῶν εἰρημένων διασκευαζομένων ἐπὶ τὴν κρείττω κατάςασιν, θαυμάσιόν τι τῇ Θεομήτορι διεπράχθη. Οὐ ϐ-λήθῃ καὶ ἀγνοίας βυθῷ, ἄξιον ἐκδοθῆναι· τῆς γὰρ κλίμακος ἁπανταχϐ τὸν ἄνω χῶρον διαθεϐσης, ὡς ἂν τὸ κατεσπαραγμένον, ϗ ἀμαυρὸν τῶν ψηφίδων, πρός τε τὸ κρεῖττον μεθαρμόζοιτο, ϗ μὴ τῷ ἑξῆς χρόνῳ γένοιτο κατὰ τϐτϐ νεανιεύσασθαι, τῶν τινι ἐπὶ ταύτης ἑςῶτι, καὶ θεωμένῳ, κλήρῳ δ' ἦν κατειλεγμένος Α'γαθονίκϐ τϐ μάρ-

Θαῦμα ιή.

τυρος, Ἰωάννης ὄνομα τῷ ἀνδρὶ, οὗτος παρατραπεὶς ἐκεῖθεν, ϗ τὼ πόδε διολισθήσας, ἄνωθεν ἐπ' ἐδάφους καταῤῥαγεὶς, τοσοῦτον ὑπέρτερος ὤφθη μηδέν τι παθὼν, ἃ προσῆκον ἔχειν δι' ὑποψίας, ὥστε ϗ μᾶλλον τὰ πρὸς ἰσχὺν ῥωμαλεώτερος γέγονεν. ἔλεγε δ' αὐτὸς, ὡς ἡνίκα κατὰ τοῦ ἐδάφους ἐφέρετο, θεία τις δύναμις, χειρὸς δίκην, αὐτὸν ἀνεκούφιζεν ὑπανέχουσα ϗ ἠρέμα συγκαταβαίνουσα, ἕως οὗ πρὸς τὴν ὑπερβολὴν τῶν λίθων ὡς ἐπί τινος ὁμαλοῦ, ϗ λείου κατήγαγε. φήμης τοιγαροῦν ἐκδοθείσης τοῖς τοῦ νεανίσκου πατράσιν, ὡς ἄρα ὁ αὐτοῖς φίλτατος ἀπείπατο τὴν ζωὴν ὑπερφυεῖ καταραχθεὶς τῷ κρημνῷ, ἐκλελυμένοι τὰς τρίχας, ϗ θερμὰ τῶν ὀφθαλμῶν ἐκχέοντες δάκρυα, παρεγένοντο, ϗ παρ' ἐλπίδα πᾶσαν κρειττόνως τῆς ἕξεως θεασάμενοι, ὑποστρέφουσι. λέγεται μέντοι καὶ φωνῆς αὐτοὺς δύναμίς τις περιηχῆσαι τὰ ὦτα, ἐκ μυχῶν ἐσχάτων τοῦ ὕδατος, ἔχετε τὸν ὑμέτερον παῖδα τοῖς ζῶσι καταριθμούμενον, ἀλλ' ἄπιτε τῇ τοῦ θεοῦ μητρὶ ζωάγρια θύσοντες. καὶ τῆς λύπης ἀντίῤῥοπον τὴν εὐφροσύνην δεξάμενοι, τῆς οἴκαδε ἥψαντο, τὸ θαῦμα πᾶσιν ἀνακηρύττοντες. διαπορεῖν μὲν οὖν τῷ λόγῳ περίεστι, πρὸς τὸ πλῆθος ἀφορῶντι τῶν ἔργων, ϗ τοῖς καθ' ἕκαστον πειρωμένῳ ἐφίστασθαι. ἀλλ' ὅσα μὲν τῶν παθῶν ἐπίσης ἔχει, ὁμοίας καὶ τῆς θαυματουργίας τετυχηκότα, παρήσειν δοκῶ μοι, παμπλη-
Θαῦμα ιδ'. θῆ τε ὄντα, ϗ ἄστρασι πρὸς μέτρον οὐκ ἐνδεᾶ. πλὴν ἀλλ' ἐπεὶ καὶ τ' ἄλλα διεξιέναι οὐκ οὖν τοῖς ἅπασι ῥᾴδιον, ἐπιτροχάδην ὅμως διελθεῖν ἀνάγκη, ϗ τὰ καίρια μὴ παραλιπεῖν, ἵνα μή τις ῥαθυμίας ἡμᾶς γράψηται. " Αὐτίκα τοίνυν καὶ Λέων, ὁ οὐχ ἧττον βασιλεὺς, ἢ σοφὸς, πλείστην ὅτι πίστιν εἰσενεγκὼν, ἀντιλαμβάνει τὴν χάριν, οὐδ' ὅσην τις εἰπεῖν δυνατόν. τὰ περὶ τὰ οὖρα γὰρ καὶ οὗτος ἀνωμάλως ἔχων, ϗ πικραῖς ταῖς καθ' ὥραν περιωδινίαις

βαλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βαλλόμενος ὡς καὶ πλημμύρας αἱμάτων τῆς φυσικῆς ἐξόδου προῤῥέειν, ταῖς διειδέσιν ἐπιῤῥοίαις τῆς Θεομήτορος τὸ θολοῦν ἐκεῖνο ῥεῦμα διακαθαίρει, καὶ τὴν ῥύσιν τοῦ αἵματος ἐπισχὼν, κατὰ χώραν μένειν παρασκευάζει, καὶ τῇ φύσει τὸ οἰκεῖον αὖθις ἀποχαρίζεται. Ἀλλὰ καὶ Θεοφανὼ ἡ μακαρία, καὶ ἀοίδιμος βασιλὶς ἐπίσης τῷ ἀνδρὶ τῆς εὐεργεσίας τετύχηκεν, εἰ καὶ μὴ ἐφ' ὁμοίῳ τῷ ἀῤῥωστήματι. Λάβρῳ γὰρ, καὶ τὰ ἔνδον διακαίοντι ληφθεῖσα τῷ πυρετῷ, καὶ τῷ λίχνῳ τῶν ἐλπίδων, ἰατροῖς μᾶλλον ἐκπλήσασα τὰς ἐλπίδας τῷ πολλὰ τῶν ὄντων ἐκδαπανῆσαι, τέλος, ἐπειδὴ ἐν ἐλέγχῳ τὰ ἐκείνων ἐγένετο, παρὰ τὸ σβεστήριον τῆς πηγῆς καὶ αὐτὴ γίνεται ὕδωρ, καὶ τοῦτο κατὰ τῆς ἔνδον φλογὸς ἐπιχέουσα, τὴν ἐπικουρίαν ἀνεκαλεῖτο· ἡ δὲ αὐτίκα τῆς ἀκμῆς ἵστατο, καὶ ὑπεμαραίνετο, κατ' ὀλίγον τῆς βασιλίδος ἀποχωρήσασα. Τούτοις δὴ προσκείσθω, καὶ τὸ εἰς τὸν τοῦ Λέοντος ὁμαίμονα διαπεπραγμένον, τῶν προειρημένων εἰς ἔκπληξιν οὐκ ἐνδέον· Στέφανος δὲ ἦν οὗτος, τῷ μεγάλῳ τῆς Κωνσταντίνου θρόνῳ ἐνιδρυμένος, καὶ τῶν οἰάκων ἐπειλημμένος τῶν ἱερῶν. τούτῳ ἀπόστημά τι κατὰ τοῦ στήθους ἀναφυέν, ὅπερ διὰ τὸ καὶ τέχνην ὑπεραναβαῖνον εἰς ἕξιν ἥκειν, ἐντεῦθεν καὶ παρωνόμασται, τὸν ἔσχατον ἠπείλησε κίνδυνον. κατ' ὀλίγον γὰρ ἐκεῖνο ἐς μέγα ἀναδραμὼν, καὶ τὰ κύκλῳ σύμπαντα διανεμηθὲν, τὰ μὲν πρῶτα, αἷμα ἀνεδίδου διὰ τοῦ στόματος, βιαίῳ πνεύματι τῶν ἔνδων ἀποῤῥηγνύμενον. εἰς πύον δὲ τὸ μετὰ ταῦτα ἡλκοῦτο τὴν σάρκα διανεμόμενον· οὗ τὸ μὲν πρὸς τὰς τοῦ πνεύμονος σύριγγας εἰσδυόμενον, ἀναπνεῖν οὐκ εἴα· τὸ δὲ ἀηδίας ἐπίμπλα, διὰ τοῦ στόματος ἐκφερόμενον. ἐπεὶ δὲ τὰ πέριξ καταφαγὸν, καὶ τὴν καρδίαν ὡς πολιορκῆσον ἐπέδραμε, καὶ ἄπορα ἦν ἐκείνῳ τὰ τῆς ζωῆς, ἄγεται παρὰ τὴν πηγὴν, καὶ τοῦ νάματος ὅλῃ ψυχῇ, καὶ προθυμίᾳ καταπολαύσας

Θαῦμα κ'.

Θαῦμα κα'.

ἡ τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡ τῶν τιμίων δὲ ἄρα ξύλων ὕψωσις ἐνειστήκει, παραυτίκα ῥάων ἔγνω γενόμενος, ἥκιστα τῆς ἐλπίδος διαπεσών. ἀντιφιλοτιμούμενος δ' ὥσπερ τὴν εὐεργέτιν ὁ πατριάρχης, ἄμφι ἄττα ἦσαν αὐτῷ, ἡνίκα τῷ ἱερῷ θυσιαστηρίῳ εἰσήγετο, οἷς δὴ ὁ μέγας κοσμεῖται ἀρχιερεύς, χρυσῷ δὲ πολλῷ, καὶ λίθοις εὐγενέσιν ἦσαν διηνθισμένα, εἰς ἐνδυτὴν μετασκευασάμενος, τῷ ναῷ τῆς πανάγνου ἀφιεροῖ, ἐντειλάμενος τοῖς ἐκεῖ, τῷ θυσιαστηρίῳ ἐφαπλοῦν ἐτησίως, καθ' ἣν τὸ σεβάσμιον τοῦ σταυροῦ ἑορτάζεται ξύλον, ὃ δῆτα καὶ διεπέπρακτο.

Θαῦμα κβ'. Ναὶ μὴν καὶ τῷ πατρικίῳ Ταρασίῳ, τὰ ἔσχατα κινδυνεύοντι, πυρετοῦ λάβρου τὰ ἔνδον ἐκκαίοντος, τὸ ὕδωρ τοῦτο σβεστήριον γίνεται. εἰς ἄκρον γὰρ ἐξημμένῳ τῷ πυρετῷ, καὶ κατὰ τῆς ἀκροπόλεως χωροῦντι τοῦ σώματος, ὡς ἐντεῦθεν εὔεφοδον εἶναι πρὸς καταδρομὴν τοῦ λοιποῦ, τῷ διαπύρῳ τοῦ φλέγοντος, συγχεῖται μὲν ἐκείνῳ τὸ νοσερὸν, καὶ τοῦ καθεστῶτος παρατραπεὶς, φρενίτιδι νόσῳ ἑάλω, καὶ πρὸς τῷ τὴν οὐσίαν ἐπαρκέσαι τοῖς ἰατροῖς δεύτερος τῶν ἐκεῖθεν εὑρεθεὶς ἐλπίδων, ἐπεὶ καὶ πᾶσαν ἄλλην ἐπικουρίαν ἀπείπατο, ὑπὸ τῆς μητρὸς ἀγώγιμος γεγονὼς, πρὸς τὸν νεὼν φέρεται· καὶ δὴ κατὰ κεφαλῆς ἐγχεομένου τούτῳ τοῦ ἁγιάσματος, ἐς ὕστερον δὲ καὶ τῷ ἐκεῖθεν βορβόρῳ ὥς τινι πνευματικῇ περικεφαλαίᾳ, καθ' ὅλης ἐχρίσθη τῆς κεφαλῆς, ἀπεσόβει μὲν τὸ δεινὸν, οὐκ ἔτι τοῖς ἄνωθεν διατρίβειν ἐώμενον. τὸ δ' ὡς τύραννός τις τῆς ἀκροπόλεως ἐλαυνόμενον, ἁπανταχοῦ τοῦ σώματος περιῄει, καὶ μετὰ βραχὺ διέπτη ἀποχωρῆσαν, τῇ δυναστείᾳ τοῦ ὕδατος. ὁ δὲ τροφῇ τε, καὶ ὕπνῳ τῷ σύνηθες χρώμενος, χαίρων τοῖς οἴκαδε ἵετο.

Θαῦμα κγ'. Ἐντεῦθεν ἡ τούτου μήτηρ Μαρία, μαγίστρισσα δὲ τὸ ἐπώνυμον, ὑπερφυεῖ τινι πίστει, συνεχῶς παρέβαλλε τῷ νεῷ, πᾶσι τὰ τῆς Θεομήτορος ἀπαγγέλλουσα, καὶ πείθουσα, ἥκιστά τινα ἐνδοιάζοντα τῇ

πηγῇ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πηγῇ προσφοιτᾷν. καὶ γάρ ποτε αὐτὴν πάθει ἀνηκέστῳ συνέβη περιπεσεῖν, καὶ ἱκέτις ἦν τοῦ ἀνδρὸς, θᾶττον μετακομίσαι ταύτην ὡς τὴν πηγήν. ἐπεὶ δ' ἐκείνῃ πρὸς πέρας ἧσαν τὰ τῆς ἐφέσεως, ἀπεῖργε δὲ παντάπασιν ἡ τοῦ νοσήματος φύσις, τὴν παρουσίαν τοῦ ὕδατος, μὴ δ' ἄκρῳ λιχανῷ τὸ τοῦ λόγου, αὐτοῦ παραγεύσασθαι, κρύφα πᾶσαν ὄψιν ἀποσκευασαμένη, ἀδιστάκτου πίστεως ἑπομένης, ὡς παρὰ τὴν πηγὴν λαθοῦσα κατῄει, καὶ ἀκράτῳ ἐχρήσατο ὕδατι, παραυτίκα τὸ λυποῦν ἐκφορεῖ, τῷ καταποθέντι ὕδατι ἐκκρινόμενον. Χρόνου δὲ παραῤῥυέντος συχνοῦ, νόσῳ πάλιν κατασχεθεῖσα, τῶν τινας εὐζώνων, καὶ τάχει τοὺς πολλοὺς παρατρέχοντας διαπέμψασα, ὅσον τάχος ἐκέλευεν ἀρυσαμένους τοῦ ἁγιάσματος ἀγαγεῖν· τὸ πρὸς ἑσπέραν δ' ἦν ἐλαύνων τὴν πορείαν ὁ ἥλιος. ἐπιστάντες τοίνυν, καὶ τὰς θύρας ἐπιζυγωθείσας εὑρηκότες τοῖς μοναχοῖς, ἐπεὶ πρὸς ταῖς ἔσω πύλαις τῆς φιάλης ἐγένοντο, μηδένα ὁρῶντες, ἤσχαλλον τῇ μελήσει. ὀπῇ δ' οὖν τινι τὰς ὄψεις ἀνέντες, τοῖς ἔνδον ἠτένιζον ἐμβοῶντες, εἴπου τις ἐκπετάσας τούτοις τὰς θύρας ἐφήσει πρὸς τὸ ὕδωρ τὴν εἴσοδον· ὁρῶσι μὲν οὖν τὸ παράπαν οὐδένα, καίπερ περιεργότερον τὴν ὄψιν εἰσβάλλοντες, φωνῆς γε μὴν ἐν μεθέξει γίνονται· ἐῴκει δὲ γυναικὸς εἶναι, τῷ λείῳ καὶ ὀξεῖ καὶ ἠρεμαίῳ τοῦ ἀπηχήματος, τά δ' ὑποτιθεμένης. εἰ βουλομένοις ὑμῖν ἐστὶν εἰσελθεῖν, πρὸς τὸ τοῦ ἁγίου Εὐστρατίου μέρος ἐκκλίνατε. εὐκτήριον δὲ τοῦτο πάντῃ βραχύτατον ἐς ἀριστερὰ τῆς φιάλης, ἀνειμένον τῇ πενταδικῇ τῶν μαρτύρων χορείᾳ. οἱ δ' ἀγνοίᾳ τοῦ εὐκτηρίου, καὶ τῆς πύλης ἐπίσης συνισχημένοι, ἀνέσπων τοὺς λόγους πρὸς τὴν φωνήν, καὶ ὅρκοις αὐτὴν ἐμπεδοῦντες ἠξίουν, πρὸς θεοῦ λέγοντες ὅστίς ποτε εἶ, καὶ ὅθεν ἡμῖν εἰσιτητὰ γένοιτο τὰ ἐς τὴν πηγήν, δίδαξον. ἀλλ' ἡ αὐτὴ καὶ πάλιν φωνὴ, ὡς ἐξ εὐωνύμων διὰ τοῦ εὐκ-

Θαῦμα κδ'.

τηρίου,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τηρίᴕ, ἀνέτω τῇ πύλῃ χρήσασθε. οἱ δ' ἐκεῖθεν ὁ δηγηθέντες, κατὰ τὸν, ὃς καλεῖται νάρθηξ εἰσάγονται. καὶ ἐπει δὴ ᴕδενὶ ἐντυχεῖν ἦν, πάλιν εἰς ἱκεσίαν πρὸς τὴν φωνὴν ἐτρέποντο, καὶ τ' αὐτὰ τοῖς πρώην ἀκᴕειν ἦν, τῶν βασιλικῶν πυλῶν ἔνδοθεν, καὶ βραχύ τι ὅσον ὅσον διατρίψαι μένον τας κατὰ χώραν· μήπω δὲ τᴕ τῆς ἔνδον φωνῆς ἀπηχήματος τὸν χῶρον ἀπολιπόντος, ἐφίσταταί τις τὰ τῶν μοναχῶν ἀνειμένος, καὶ ἀνηρεύνα τᴕς ἄνδρας, ὅθεν τε, καὶ ὅπως, καὶ εἰ πολλῷ τῷ μεταξὺ χρόνῳ διατρίβειεν ᴕτωσί· τῶν δὲ πάντα κατὰ μέρος διεξεληλυθότων, ἐκεῖνος, ὅτᴕ δὲ χάριν, μὴ, διὰ τᴕ πυλῶνος εἰσελθεῖν ὑμῖν ἐξεγένετο; ὅτι τοι ἔφασαν, γυνή τις ἡμῖν, τὴν ἐς δεῦρο φέρᴕσαν διηρμήνευσεν, ὁδηγῷ χρωμένη τῷ λόγῳ, ἣν πρὸς ὄψιν ἐξαιτᴕμεν ἐλθεῖν. τῷ δ' ἀγνοῆσαι πάντως ἐξὸν ᴕδαμῶς, γυναιξὶ φησιν ὁ χῶρος ᴕτος ἥκιστα διατρίβειν ἐφεῖται. ἴστε δ' ὡς κἀμοὶ περὶ τὴν ἄυλειον ἀνατρεφομένῳ, ἴσης ἀπολαῦσαι συμβέβηκε τῆς φωνῆς· ὡς δὴ πρὸς τὸν νεὼν μεταπτάντι, μεταχεῖν ὑμῖν ἐφεῖναι τᴕ ὕδατος. ὅθεν δὲ καὶ ἥτις ἦν ἡ φωνὴ μηδαμῶς ἀγνοήσαντες, μεστὸν ὑγρᴕ τὸ ἄγγος ἀνιμησάμενοι τῆς πηγῆς, τῇ μαγιστρίσσῃ ὡς ἅπαντα διεπέπρακτο καταγγέλλᴕσιν. ἡδ' ἐντεῦθεν θαῤῥήσασα, τὸ ὕδωρ ἐγχεῖν κατὰ τῆς νόσᴕ προέτρεπεν. ᴕπω δὲ τέλος εἶχεν ἡ τᴕ ὕδατος ἔκροια, καὶ ἡ νόσος διαλυομένη, συναπέῤῥει τῷ ὕδατι.

Καθ' Β'. Θαῦμα κε'.

Οὐκ ἀνήσω τὸν χρόνον, λήθης παραδᴕναι βυθοῖς, ὅσα κατὰ μέρος ἐν ταῖς τᴕ σοφωτάτᴕ Λέοντος ἡμέραις ἡ Θεομήτωρ ὑπερφυῶς διεπράξατο. ἐκκείσθω τοίνυν καὶ τὰ κατὰ τὸν ἱὸν τᴕ Στυλιανᴕ, ὃς τῶν σωματοφυλάκων τᴕ βασιλέως ἄρχων ἐτύγχανεν ὤν. τᴕτῳ λίθος κατὰ τὰ ἀφανῆ τῶν γεννητικῶν μορίων ἐνσπείρεται. Τὸ μὲν ᴕν ὅθεν, καὶ ὅπως συμβαίνειν εἴωθε, τοῖς πολλοῖς ἐστὶν ἀγνοᴕμενον. ἐγὼ δέ τινος ἤκᴕσα δεινᴕ τὰ τοιαῦτα διερευνᾶσθαι,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σθαι, ὡς φύεται μὲν τὸ πάθος τοῦτο τὸ κατ᾽ ἀρχὰς, ἐν τῷ προέχοντι σαρκίῳ τῶν μητρικῶν μαζῶν. ῥάγαν οἶδε τοῦτο καλεῖν ἡ συνήθεια. τοῦ γὰρ γάλακτος πολλάκις χρονίζοντος, εἴτε τοῦ παιδὸς ἀπαξιοῦντος τὴν ἀμολγὴν, εἴτε δὴ καὶ τῆς τίτθης ἐπί τινι διατριβούσης ἑτέρῳ, τοῦ μαζοῦ σπαργῶντος, καὶ προῤῥέειν τὰς τοῦ γάλακτος πίδακας ἐκζητοῦντος, τῇ βραδυτῆτι συμβαίνει τυροῦσθαι τὰ ἄκρα, πηγνυμένου τοῦ γάλακτος. εἶτα τὸ βρέφος τῇ ἐκμυζήσει, καὶ τὸ τυρωθὲν ἐκεῖνο συγκατασπῶν, πρῶτον μὲν αὐτὸ καθίησι τῷ στομάχῳ, ἀδρανὴς δὲ ὢν ἐκεῖνος, καὶ πρὸς πέψιν ἀμαθὴς τῶν τοιούτων, ἄπεπτον πάλιν παραπέμπει τοῖς μετ᾽ αὐτὸν, καὶ τέλος περίπου τὴν κύστιν ὡς ὑποβάθρᾳ τινὶ στηριχθὲν, τὸ κακὸν ἐκεῖνο ὥσπερ τις ὑπόστασις γίνεται. περὶ αὐτὸ δ᾽ ἐκεῖσε καὶ τοῦ οὔρου συνισταμένου, τὸ παχὺ, καὶ γεῶδες ἕλκει πρὸς ἑαυτό. εἶτα τῇ κατὰ βραχὺ προσλήψει ἐπεκτεινόμενον, σκιῤῥοῦται τῇ θέρμῃ, καὶ τῷ ὀχετῷ ἐμπόδιον γίνεται, εἰς αὔξην ἐλθὸν, κἀντεῦθεν καὶ ὑπερβαλλούσαις ὀδύναις δίδωσιν. ἴσως δὲ καὶ τρόποις ἑτέροις, ἔκτινων κακοχυμίας ὄψων μεσῶν ἡ τούτων ἂν εἴη ἐνέργεια. διάφορα γὰρ ὄντα, διαφοράν τινα πάντως κἂν τῇ συστάσει ἕξει. τούτῳ τοίνυν, ὡς εἴρηται, τοιούτου πάθους γεγενημένου, καὶ τὸ θανεῖν ὡς ῥᾷον εἶναι πρὸς ὑπερβολὴν κακοῦ τοσούτου ἀλλαττομένου, πάσχειν ἦν ἀνάγκη. ὅθεν καὶ ἀκαθέκτους ἔχων ταῖς ὀδύναις βαλλόμενος, ἐκυλίετο. χοροὶ δὲ ἰατρῶν αὐτὸν περιΐσαντο, τομαῖς τισι, καὶ χειρουργίαις, ἴσως δὲ καὶ ἐπαοιδίαις τὸν λίθον ἐξελθεῖν προκαλούμενοι. ἀλλ᾽ ἔλεγχος δὴ ταῦτα, καὶ τερατεία κενή. ὅσον γὰρ ἐκείνῳ μᾶλλον ἡ ἔκροια τῶν οὔρων συνείχετο, τοσοῦτον χύδην ἐξηντλεῖτο πλοῦτος ὁ πατρικὸς, καὶ συνεξέῤῥεε, πρὸς χεῖρας ἰατρῶν μετοχετευόμενος. ἀλλ᾽ ὁ πατὴρ ὀψέ ποτε ἀνανήψας τοῦ κάρου, πρὸς τὴν πηγὴν μεταβιβάζει φοράδην τὸν παῖδα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δα. ἐς τοσοῦτον γὰρ ἀκμάζον ἦν τὸ δεινὸν, καὶ δὴ συνεχῶς ὁ παῖς μεταλαμβάνων τοῦ ἁγιάσματος, εἰς τέλμα διαλύει τὸν λίθον, καὶ μετ' ὀλίγον ὑγιείας ἐπαπολαύσας καθαρωτάτης, οἴκαδε ἐπανήει, τοῦ πάθους εἰς πηλὸν, ὡς εἴρηται, τεναγώδη διαλυθέντος, καὶ ταῖς φυσικαῖς ἐκκρίσεσι

Θαῦμα κς'. διαῤῥεύσαντος. τούτῳ δὴ προσιθέσθω καὶ ἕτερον. Σχιζινά τις Μαρία, πρὸς τῇ λοιπῇ καχεξίᾳ τοῦ σώματος, καὶ φθορὰν γαστρὸς ὑποστᾶσα, ἐπειδὴ τὸ σύμπαν τοῦ ἔνδον φόρτου ἐξέῤῥευσεν, ὅσον τε ἦν λιπῶδες, καὶ τοῖς ἤτροις ἐμφιλοχωροῦν, καὶ αὐτὸ συναπῆλθεν αἵματι σύμμικτον ἀποξεόμενον, καὶ διαλυόμενον· ἰατροῖς δὲ τὸ καὶ εἰς ὄψιν ἥκειν ὕδατος, κίνδυνον αὐτῇ τοῦτο εἶναι τὸν ἔσχατον ἔγνωστο. ἐπὶ θύραις δ' ἦν αὐτῇ καὶ ὁ θάνατος, παντὸς τοῦ ὄγκου ταύτῃ διαῤῥυέντος, γυναῖκά τινα καθ' ὕπνους ἔδοξε κατιδεῖν. ἡ δὲ ἦν πάγκαλόν τι χρῆμα, αἰδοῖ σεμνυνομένη, καὶ σχήματι εὐπρεπεῖ βηματίζουσα. ἥτις καὶ προσιοῦσα ταύτῃ, ἐδόκει τῇ νόσῳ μᾶλλον παθαίνεσθαι· ἀνεπυνθάνετο τοίνυν τὰ κατ' αὐτὴν διεξοδικώτερον. τίς δὲ ἄρα σοι νόσος ὦ γύναι λέγουσα, ἢ οὐχ ὕδωρ ἐκ τοῦ ῥᾶστου σοι ἔνεστιν ἐκροφῆσαι; ἡ δὲ δύναμις γε ἔφη κυρία μου πάρεστιν, ἀλλ' ἰατροῖς ἀπηγόρευται τοῦτο τῇ νόσῳ παντάπασι. τούτου γὰρ ἄνευ, τ' ἄλλα μᾶλλον ἀποχρῆν ἐκείνοις πρὸς ὑγείαν νομίζεται. ἡ δὲ κοσμία ἐκείνη, καὶ πολὺ τὸ χάριεν ἀποστίλβουσα, ἀλλ' ἐναντία ἔμοιγε τούτοις ἡ θεραπεία φησί. τόσον γάρ σοι ἔσται μηδὲν ἀπώνασθαι τῶν φαρμάκων, ὥστε τοῦ ὕδατος ἄνευ, οὐκ ἄν σοι γένοιτο, τὴν νόσον ἀποσκευάσασθαι. πίε τοίνυν τὸ ὕδωρ. πηγῆς δὲ τῆς ἐμῆς ἔσω, καὶ τὰ τῶν ἰατρῶν ἕξεις ἐληλεγμένα. ἕωθεν τοίνυν ἀρυσαμένη τοῦ ἁγιάσματος, καὶ εἰς κόρον μάλα πιοῦσα, τῷ καταῤῥεύσαντι τὸ πάθος τῆς διαῤῥοίας ἵστᾶ. οὕτως οἶδεν ἡ τοῦ Θεοῦ μήτηρ, ὥσπερ φύσιν νικήσασα, οὕτω καὶ παθῶν περιγίνεσθαι τοῖς ἐναντίοις ἰάμασι

θερα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θεραπεύουσα. Ναὶ μὴν καὶ τὴν αὐγοῦσαν Ζωὴν τὴν μήτραν πεπηρωμένην, ὥστε καὶ λίθος διακειμένην πρὸς τὰς γονὰς, ἐῤῥωμένην πρὸς τέκνων ἀναδόσεις καθίστησι. πλέγμα γάρ τι τῶν ἐκ σηρικῶν νημάτων πεποιημένον, ἴσον τῇ τῆς Θεομήτορος εἰκόνι, τῇ τοῦ σωτῆρος ἐκδεξιῶν, ὑπεράνω τοῦ ἁγιάσματος ἐπὶ στοᾶς ψηφίσιν ἐμπέπηγεν, ἐκεῖσε αἰωρήσασα, εἶτα τὰς λαγόνας κύκλῳ τούτῳ διαλαβοῦσα, καὶ τὴν ὀσφὺν περισφίγξασα, τὴν γονὴν εἰσρυεῖσαν ταύτῃ συνέχει, τὰ πρῶτα ἐξίτηλον γινομένην, καὶ διαῤῥέουσαν, καὶ Κωνσταντῖνος ἐντεῦθεν αὐτῇ κατὰ τὴν πορφύραν πρώτιστος γίνεται. ἐχρῆν καὶ γὰρ τὴν κογχύλην ἐξ αἱμάτων ἰδίων τῷ βασιλεῖ τῶν ὅλων ὑποστησαμένην Θεῷ, ταύτην καὶ κατὰ τὴν πορφύραν πρώτιστον ἀναδεῖξαι τὸν βασιλέα, τὸν πορφυρανθῆ τῷ ὄντι, καὶ εὐσεβέστατον Κωνσταντῖνον. ἰδοὺ καὶ παίδων γονὰς τὸ ὕδωρ πρόχειρον παρασχεῖν, καὶ τ' ἄλλα πράττειν μάλιστα ἱκανὸν, ὅσα τις αἰτοίη πιστεύων. Θαῦμα κζ'.

Εἶτα ἡ βασιλὶς αὕτη, καὶ ῥίγει φλέγοντι τὴν ἕξιν διαλυθεῖσα, τῷ μὲν ῥίγει ἀνθιστᾷ τὸν πηλὸν, τῷ καυσώδει δὲ πυρετῷ τὸ ὕδωρ ἀφίησι. καὶ φόβος μὲν αὐτίκα τὸ ῥίγος λαμβάνει, καὶ ὑπότρομον γεγονὸς, ἠρέμησεν ἐξιόν, μαραίνεται δὲ καὶ τὸ φλέγον, ταῖς καταῤῥοαῖς σβεσθὲν τῶν ὑγρῶν. Θαῦμα κη'.

Ἑξῆς δέ μοι τὰ κατὰ τὸν ἄνακτα Ῥωμανὸν ἐκκείσθω τῷ λέγειν. φίλτρον γὰρ καὶ οὗτος ἐξαίσιόν τι χρῆμα τῇ τοῦ λόγου μητρὶ ἐνδειξάμενος, καταλλήλων, μᾶλλον δὲ καὶ πολλῷ μειζόνων ἀπολαύει τῶν ἀμοιβῶν. καὶ γάρ ποτε τούτῳ πυρετῷ φλέγοντι ἐκτακέντι, κἀντεῦθεν καὶ ἀηδῶς τοῖς βρώμασιν ἔχοντι, ἅτε τῶν ὀρεκτικῶν δυνάμεων ἐξιτήλων γεγενημένων, καὶ οὐδυνατῶς ἐχουσῶν τὴν προσήκουσαν ἐνέργειαν ἐκπληροῦν, τῷ ἀπεριέργῳ, καὶ κοινῷ τοῖς πᾶσι χρησάμενος ὕδατι, ῥώννυσι μὲν τὸ τῇ νόσῳ διεῤῥυηκὸς αὐτίκα, καὶ τὸ φλέγον οὐκουν ἀντέσχε, πρὸς εὐκρασίαν Θαῦμα κθ'.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Θαῦμα λ'.

μεταχωρῆσαν, τῷ ἐκ τῆς πηγῆς δροσισμῷ. Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τῆς γαστρὸς ἐπισχεθείσης, καὶ ἀπολιθωθείσης αὐτῷ, πρὸς ἔξοδόν τε πᾶσαν ἀκινήτου διαμεμενηκυίας, ὡς συμβαίνειν τὴν ἐκεῖθεν ἀποφορὰν, τὸν ἐγκέφαλον ἀνατρέχουσαν, ἀπρακτεῖν τὰς αἰσθήσεις παρασκευάζειν, καὶ τῶν ἀψύχων διαφέρειν μηδὲν, τὸ τῆς πηγῆς ὕδωρ ποθὲν, σωτήριον γίνεται. ἐκκενοῖ καὶ γὰρ αὐτίκα, τὸν σκληρὸν ἐκεῖνον φόρτον καὶ τοῖς ἔξωθεν δίδωσιν ἀντωθούμενον ὑγρᾷ δυναστείᾳ τοῦ ὕδατος, αὖθις δ' ἀκράτῳ φορᾷ, τῆς γαστρὸς αὐτῷ ἐκρεούσης, καὶ ἄπεπτα πάντα διακρινούσης ἐκ τοῦ αὐτίκα, τῷ θείῳ ὕδατι τούτῳ χρησάμενος, συσφίγγει τάχος ὅσον αὐτὴν, καὶ γίνεται κλεὶς τῇ ἐξόδῳ τὸ ὕδωρ, ἀναχαιτίζον τὸ διαῤῥέον τῶν ἔσωθεν, καὶ τὸ δὴ θαυμαστὸν καὶ φύσιν πᾶσαν ὑπερανεστηκὸς, πῶς ἓν τὸ ὕδωρ ὂν καὶ ἀποίκιλλον, ἐν ταυτῷ καὶ λύειν ἔχει τὰ κακῶς συνεστῶτα, καὶ αὖθις ἐπέχειν τὰ μὴ καλῶς ἀλλήλων ἀποῤῥηγνύμενα, ἀμφοτέροις ἐναντίοις ταῖς ἐνεργείαις ἀποχρῶν καθιστάμενον.

Θαῦμα λα'. Ἴσ. τριταίων.

Παραπλήσιόν τι καὶ ἡ τούτου γυνὴ εὐηργέτηται Ἄννα, Ἑλένῃ τε τῇ θυγατρὶ, ὑπὸ τριταϊκῶν πολυορκουμένῃ τῶν νόσων ἀπαλλαγὴν δίδωσι. κατὰ περιοδείας τινὰς ἐκποθὲν, ἢ τό γε ἀληθέστερον ἐκείνης καταχεθὲν, καὶ γαστρόῤῥοιαν αὐτῆς ἀναστέλλει φερομένην ἐκτόπως καὶ ἀκαθέκτως προῤῥέουσαν, ἄλλας τε τῶν νόσων δυσχερῆ καὶ τὴν εὕρεσιν, καὶ θεραπείαν ἐχούσας, καὶ μυρίαις ὀδύναις παραπεμπούσας αὐτοὺς ἐξιᾶται, ἑνὶ καὶ ἁπλῷ φαρμάκῳ, διάφορον καὶ ποικίλλον νόσων ἑσμὸν ἐκκαθαίρουσα. διὸ καὶ τῷ ἄνακτι Ῥωμανῷ, παρ' ὅλον τὸν βίοτον οὐκ ἄλλο τῶν ὑδάτων πρὸς πόσιν ἀνεῖτο, ἢ τὸ ἐκ πηγῆς ἀρυόμενον, πεῖρᾳ διεγνωκότι, τὸ δραστικὸν αὐτοῦ· καὶ πρὸς πᾶσαν νόσον ἀντίπαλον. ναρκήσῃ δὴ πάντως καὶ χεὶρ ὑπηρετοῦσα τοῖς θαύμασι, καὶ νοῦς ἀτονήσει καμών. ἴσως δὲ καὶ χρόνος ἐπιλεί-

λεί-

λείψει με τὰ τῆς Θεομήτορος διηγȣμενον. Γαβριήλ τις ἀνὴρ, τῶν ἐν τῷ βασιλικῷ δὲ κοιτῶνι διαπονȣμένων εἷς καὶ ȣ̓͂τος ἀνεγνωρίζετο, ὑπὲρ ἀδελφιδȣ͂ τινος τὰ σπλάγχνα διακαιόμενος, λύπῃ τε βαθείᾳ τὴν ψυχὴν βαρυνόμενος, ὅτι πρὸς βȣλγάρων χειρωθεὶς ἰσχυραῖς κατησφάλιςο πέδαις. ὑπὲρ δὴ τȣ́τȣ, εὐαγγέλιον εὐφυῶς ἠσκημένον, τῇ Θεομήτορι ἀνατίθησιν, εὐαγγέλι᾽ ἀττ᾽ ἀκȣ͂σαι δεόμενος ἐκπυθέσθαι τȣ͂ ἀδελφιδȣ͂. ἕωθεν οὖν τὸ βιβλίον ἀνέθετο, πρώτη δ᾽ ἦν ἡμέρα τῆς ἑβδομάδος κυριακὴ, τὸ πρὸς ἑσπέραν δ᾽ ἧκεν ὁ ἀνεψιὸς, ἀοράτως τῶν κατεχόντων διαλυθείς. διετείνετο δὲ, ὡς ȣ̓κ ᾔδειν ὅπȣ γῆς διατρίβω, πρὶν ἢ τὸν νεὼν τῆς Θεομήτορος κατιδεῖν. διαγνȣ̀ς τοίνυν τὴν ἐκ τῶν δεσμῶν τῆς δȣλείας ἐλευθερώσασαν, ȣ̓ μᾶλλον ἀπολυθεὶς ἔχαιρεν, ἢ ὅτι ὑπὸ τῆς Θεομήτορος παρὰ δόξαν τὰ τῆς λύσεως διεπέπρακτο, ὃ καὶ αὐτῷ ἐκείνῳ τῷ κοιτωνίτῃ ἀεὶ διὰ θαύματος ἦν, ȣ̓ τὴν λύσιν, ἢ τὸ τάχος ἐκπεπληγμένῳ. Θαῦμα λβ΄.

Ἀπολαύει τῶν θαυμάτων, καὶ Ἰωάννης ἐκεῖνος ὁ μοναχὸς. ᾧ Πέπερις τὸ ἐπώνυμον. ȣ̓͂τος γὰρ ἐνδοτέρω τῆς χαλδαίων γῆς ποιȣ́μενος τὰς διατριβὰς, δεινήν τινα, καὶ ἐξαισίαν νόσον νοσήσας, ἐπεὶ καὶ ἰατρῶν τέχναι, καὶ φαρμάκων ἰσχὺς ἀπειρήκει, ἐν νῷ τὴν πηγὴν λαμβάνει τῆς Θεομήτορος. πολλὴ γάρ τις, καὶ ὀξεῖα φήμη διΐπτατο, πάντων ἐκπληρȣ͂σα τὰ ὦτα τῇ καινοτομίᾳ τῶν πεπραγμένων, ὅθεν καὶ δακρύων ἐμπλήσας τȣ̀ς ὀφθαλμȣ̀ς, τῇ τȣ͂ λόγȣ μητρὶ διελέγετο· ἡ ἀεννάως βρύȣσα δέσποινα, πηγὴ τȣ͂ ἀειζώȣ νάματος, γενȣ͂ μοι βοηθὸς ἐπὶ κλίνης κατακειμένῳ, καὶ μυρίῳ σάλῳ κυμαινομένῳ, μικρὸν οὖν ἐφεικότι αὐτὸν τῷ ὕπνῳ, φαίνεταί τις ὑπερφυὴς τὴν ὄψιν, καὶ τὰ μάλιςα εὐπρεπὴς γυνὴ λέγȣσα, ὅτȣ δὴ χάριν ὀδυνωμένῳ σοι μοναχὲ, αἱ ἀνακλήσεις ἐγγίνονται. ὁ δ᾽ ἐπιεικῶς, ζῆν ἐφιέμενος λέγει. τί δ᾽ ἄν μοι ταύτης παρά- Θαῦμα λγ΄.

χοις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χοις ἀντάξιον, ἡ ὄψις ἀντέφησεν, ἐπὶ πολλῷ τῷ καμάτῳ, ἐξ αὐτῆς πηγῆς τῇ μέχρι σοῦ στειλαμένῃ, ϗ ὃς οὐδέν μοι πλέον χρυσίνων τριῶν περιλέλειπται, κατὰ μοναχοὺς ἠρημένῳ βίον. τῇ δὲ τούτοις δὴ συνθεμένῃ, δεκτέα δὲ προσειπούσῃ ϗ ταῦτα, ϗ ἥκιστ᾽ ἀπόβλητα, ἅπτεται μὲν αὐτοῦ, ϗ τὸ πάθος τῇ ἀφῇ ἐδραπέτευε, μηδ᾽ ἐν ὕπνοις ἀνασχέσθαι οἷόντε ὄν, τὴν τῆς ἁγνῆς παρουσίαν· ὁ δὲ ῥάων ἐντεῦθεν γενόμενος, ϗ μηδὲν τῆς ὑποσχέσεως διαλυμηνάμενος, τῶν οἴκοι ἀπάρας, πρὸς τὴν ζωηφόρον πηγὴν ἐξ ἄκρων γῆς ὁρίων ἐπιφοιτᾷ, τὸ θᾶττον, ἢ λόγος ἀνακηρύτων τῆς ἁγνῆς τερατούργημα, ϗ τὸ χρέος ὡς μάλα ἀποτινὺς προθυμότερον· τοῦτο μὲν δὴ τοιοῦτον.

Θαῦμα λε΄. Ἦν δὲ τῷ ἐκ χαλδίας τούτῳ μοναχῷ φοιτητής, ᾧ νόσος μετὰ χρόνους ἐπισκήπτει δεινή, ταῖς ἀπείροις τῶν ὀδυνῶν, ἐγγυωμένη ὅσον οὔπω τὸν θάνατον ἐπιστήσεσθαι. μέσοις δ᾽ ἐν ἀπόροις οὕτω κατειλημμένῳ, πᾶσα γὰρ σωτηρίας ὁδὸς ἀπηγόρευτο, πρὸς δὲ καὶ τῷ διδασκάλῳ διαπορουμένῳ πάμπαν καὶ δυσχεραίνοντι, εἷς πόρος ἐν ἀπόροις ἐδόκει λυσιτελής, ἡ πρὸς τὴν ζωηφόρον κρήνην ἐλπίς, ϗ ἀναψυχή τις ὑπελείπετο μία, ὁ ἐκ τῆς πηγῆς δροσισμός. κατὰ νοῦν γοῦν ἀνελίττων τὸν λογισμόν, πρὸς τὸν μαθητὴν γίνεται, ϗ βούλει τέκνον ἐν βαθεῖ τοῦ τῆς ὑγείας ἀπολαύειν καλοῦ; τοῦ δὲ κατανεύσαντος, ὁ δέ, ἀλλὰ τῇ πηγῇ φησι κατάθες ὑπεσχημένος τι τῶν ἐνόντων, ϗ θᾶττον ἡ ῥῶσις ἐφέψεται· ὁ δὲ φοιτητής, ἅ μοι ἐς χρυσοῦ νομίσματα, πέντε δὲ ἦσαν, εἰ οὔκουν ἔφη ἀστοχῆσαι τῶν δι᾽ ἐφέσεως γένηται, ἐγγυῶμαι τῇ Θεομήτορι. αὐτίκα τοίνυν ὁ Πέπερις παρὰ τὴν ἐκκλησίαν ἰών, ἐδεῖτο τῆς τοῦ λόγου μητρός, συχνῶν καταῤῥεόντων αὐτῷ τῶν ἱδρώτων ὑπὲρ τοῦ φοιτητοῦ. ἱκανὸν γοῦν χρόνον διαλιπών, ἐπὶ τὸν μαθητὴν γίνεται, ϗ πυνθάνεται μὲν εἴτις ὄψις τούτῳ προσέβαλεν.

οὐδὲ

ὅδε ἐδενὶ μὲν εἰς ὄψιν ἧκον φησὶ, φωνῆς γεμὴν φερομένης ὕτω διακελευομένης ἀκήκοα, γράψον, καὶ σφράγισον. ὅδε γηραιὸς ἐκεῖνος ἀνὴρ, ἀλλ᾽ ἐμοί φησι τέκνον ἡ Θεοτόκος πρὸς λόγυς ἐγένετο, ὡς ταχύνας φθάσον ἐγκελευομένη παρὰ τὸν μαθητήν. διεβεβαιῦτο τοίνυν ὡς κατ᾽ ἐκεῖνο καιρῦ τὴν πολυήμερον νόσον ὥς τινα λεβηρίδα ἀποδυσάμενος, κατ᾽ ὑδὲν τῶν μὴ δ᾽ ὁπωσοῦν νενοσηκότων διέφερεν. ἐξ ἐκείνυ τοίνυν μέχρι καὶ ἐς δεῦρο παρὰ τῶν μοναςῶν χαλδίας, τὰ πέντε νομίσματα τῇ θεοτόκῳ κατ᾽ ἔτος πρὸς τὴν πηγὴν ἀνασώζονται, ἀνανεκμένων τῇ μνήμῃ τὸ θαῦμα, καὶ ἀνθισαμένων τῷ χρόνῳ κρύπτειν ὡς τὰ πολλὰ εἰωθότι τὰ τῶν τεραςίων ἐξαίσιά τῇ παραῤῥοῇ. ἵνα δὲ μὴ δ᾽ ἐν τύτοις τῦ ἰςῦ ἀπολείποιτο, καὶ λεπτοῖς τισι τὸ πλέον ἐπιμετρεῖ, καὶ ὐ τῷ ποσῷ, τῇ δὲ προαιρέσει καὶ προθυμίᾳ τῶν πολλὰ, καὶ ἄπειρα κατατιθεμένων τὴν ἀντίδοσιν ἐπιῤῥέυσα, καθὰ δὴ καὶ χριςὸς τῇ διὰ ἐλαχίςων δύο λεπτῶν τὸ πλέον πάντων δῦναι, τῇ περιυσίᾳ ἐπιμετρήσας τῆς προαιρέσεως. θάλασσαν, ἀλλ᾽ ὐ πηγὴν, προσηκόντως ἄντις τὸν τῆς πανυμνήτυ καλέσοι νεών. ὡς γὰρ ἐκεῖ τῇ ψάμμῳ δυσχερὲς τὸ μέτρον ἐπιβαλεῖν, πολῷ μᾶλλον τῶν ἐν τῇ πηγῇ τελυμένων τὸ πλῆθος ἔχοι ἄντις ῥᾶςα διερευνήσασθαι. ἀλλ᾽ ἐπὶ τὰ ἑξῆς ὡς ἰσχὺς χωρητέον μοι τῶν θαυμάτων. Ἀνδρί τινι, πρωτοσπαθάριος ὗτος δ᾽ ἦν τὴν ἀξίαν. νόσων ἐπαλληλίᾳ τὴν ὁλομέλειαν ἐκτακέντι, κἀντεῦθεν ἡμιθνῆτι γεγενημένῳ, ἄσυλον ἱερὸν τὸ νᾶμα τῆς πηγῆς ἀναδείκνυται. ἐκεῖσε γὰρ ἐκ πάνυ πλείςυ ἀπεῤῥιμμένῳ μία, πρὸς ὕπνον τραπέντι, ὄψις θειοτέρα ἐφίςαται. ἡ δὲ ὄψις, γυνή τις ἐῴκει σφόδρα καλὴ, ὑπὸ σεμνῷ ψυχῆς καταςήματι, ὡραῖον οἷον, καὶ χάριεν ἀπαςράπτυσα· παρείπετο δὲ καὶ νεανίας αὐτῇ, ἀνεςαλμένος τὴν κόμην ἐπὶ πολλῆς, καὶ ςολῇ διαπρέπων καινῇ, ἐπὶ κιβοτίῳ Θαῦμα λϛ᾽.

φαρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φαρμάκων πλήρει τὴν εὐώνυμον βαρυνόμενος. ἡ γὰρ θατέρα ἐγχειριδίῳ ξίφει καθώπλιστο. εἰς ὄψιν δὲ καὶ τ' ἄλλα Παντελεήμονι τῷ θείῳ παρείκαστο. αὕτη δ' ἐπιστᾶσα, ᾧ κατακεῖσθαι τὸν Ἰωάννην συνέβαινεν. οὕτω γὰρ ὁ σπαθάριος κατωνόμαστο, ἐπέτρεψε τῷ ἀκολούθῳ, τὸν κάμνοντα ὅ,τι πάσχει διερευνῆσαι. ὁ δ' ἀφῇ τὰ μέλη πιέσας, τὰ ἔνδον, τούτῳ διέφθορεν ἀπαγγέλλει. καὶ δεῖ τομὴν αὐτοῦ ἐπιθεῖναι τῷ πάθει. καὶ ὁ μὲν αὐτοῦ κατήνεγκε τὸ ξιφίδιον τὰ στέρνα ὑποκεντήσας, ὁ δὲ νυγεὶς διυπνίζετο, δοξάζων τὴν Θεομήτορα, μηδὲν ὧν ἔπασχε πρότερον διαγνοὺς, μόνον δὲ τὸ ἕλκος τῆς τομῆς ὁρῶν ἀπορρέον.

Θαῦμα λϛ'. Ἕτερός τις, πρωτοσπαθάριος δὲ καὶ οὗτος ἦν τὴν ἀξίαν, μακρᾷ καὶ δυσελίκτῳ νόσῳ σχεθεὶς, τοσοῦτον τῆς τῶν ἰατρῶν τερατείας ἀπώνατο, ὡς ἡδόμενον ἐλπίσι κεναῖς, ἀχθεσθῆναι μᾶλλον τῇ ἐπιδόσει τῆς νόσου· τὸ δὲ τελευταῖον οἰμώζειν τὰ ἐκείνων εἰπόντα, ἐπιτρέψαι τοῖς διακόνοις παρὰ τὰς διεξόδους τῆς πηγῆς ἀγαγόντας διαρρίψαι αὐτόν. εἰ δὲ καὶ τὸν βίον ἐκλιπεῖν γένοιτο, τὸν νεκρὸν ἐκεῖσέ πη κατορύξαντας, ἀναστρέψαι. εἴκουσι τοῖς ῥήμασι τοῦ δεσπότου, καὶ παρὰ τὴν πηγὴν φέροντες ἔθεντο, τῷ δὲ λίαν ἐκκρεμῶς τῆς ἀπὸ τοῦ ὕδατος ἐξημμένῳ ῥοπῆς, τὰ πάντα ἐν δευτέρῳ ἐτάττοντο. πολλάκις γὰρ τῷ ἀπορεῖν ἕπεται τὸ συνοῖσον εὑρεῖν. ταύτῃ τοι καὶ θερμῶς αἰτῶν, οὐ βραδέως κατατυγχάνει τοῦ ἥδοντος. ὄνειρος γὰρ θεῖος τῷ ὄντι αὐτῷ ἐπιπτὰς, ἐδόκει αὐτὸν παρὰ τὴν καταφυγὴν ἀγαγεῖν. γυνὴ δέ τις τὴν ἀναβολὴν εὐσταλὴς, ἐρανίῳ δὲ ἄρα ἦσαν τὰ πέπλα βεβαμμένα τῷ χρώματι, ἀνὰ τὰς προχοὰς τοῦ ὕδατος ἐφεστῶσα, ἀντλητηρίῳ τινὶ τούτου ἐδόκει ἀρύεσθαι, καὶ τοῖς πόθῳ ζέοντι προσιοῦσι τούτου μεταδιδόναι χειρὶ ἐλευθέρᾳ, προσιόντι δὲ καὶ τῷδε, τὴν μετάληψιν ἐκείνην ἀπαγορεῦσαι, καὶ ὃς μᾶλλον ἦν ἐπισπεύδων τὴν αἴτησιν· ὡς δὲ

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἅπαξ, καὶ πολλάκις ἀπηξιοῦτο τοῦ ἁγιάσματος, καὶ ταῦτα δραστικὴν προσάγων τὴν πεῖραν, ἐπεὶ σφοδρότερον τὴν ἀναβολὴν καθεώρα, ὅρκοις ἐπειρᾶτο πείθειν, τὸ φρικῶδες τοῦ Θεοῦ ὄνομα ἐπιλέγων· ἡ δὲ τῷ δοκεῖν, ἀναβολῇ καὶ αὖθις ἐδίδου τὸ πρᾶγμα, διερεθίζουσα τὸν πόθον μᾶλλον ἐκείνῳ, εἶτα διαμειδιώσῃ λέγει τῇ παρειᾷ, ὡς βραδύτερον ἀπαντήσαντι ἥκιστ᾽ ἐμοὶ λελόγισται δεῖν ἐπιδοῦναι, καὶ εὐχερῶς αὐτίκα μάλα δίδωσι τῇ χειρὶ, βραχὺ τὸ παραῤῥεῦσαν εὐθὺς, καὶ ὁ θανεῖν τοῖς πᾶσιν ἐπίδοξος, ἐξάντης τῆς νόσου τῷ ὕδατι γεγονὼς, ποσὶν οἰκείοις, τῆς οἴκαδε ἥψατο, κήρυξ τοῦ ξένου τεραστίου, καὶ σιωπῶν καθισάμενος. Ἤδη δὲ τῷ λόγῳ δώσω καὶ τὰ κατὰ τὸν μοναχὸν ἐκεῖνον Μελέτιον, ὃς τῶν τῆς Θεοτόκου μὲν εἷς ἐγνωρίζετο, ἐν ἀγροῖς δὲ ἀεὶ διῃτᾶτο. τούτῳ δὴ πρὸς τὸν κρατοῦντα διαβολή τις συῤῥάπτεται, παρ᾽ ἀνθρώπων, οἷς φαυλότης βίου τῶν ἄλλων ἐστὶ τὸ ἐπίσημον. ὁ τοίνυν κρατῶν δεσμώτην αὐτὸν γενέσθαι ἀγρόθεν προστάσσει, καὶ δεσμὰ μὲν αὐτὸν διελάμβανον. οἵ τε γὰρ πόδες πεπέδηνται, καὶ τὴν χεῖρα δ᾽ οὐχ ἧττον δεσμὸς ἐκάκου σιδήρεος. ὡς δὲ πανδοχείῳ τινὶ ἐπανιόντες διανεπαύοντο, ἐς ἄκρον μᾶλλον τῷ μοναχῷ πιέζεσθαι ἦν, οὐδὲν τῶν δεσμῶν ἀνιέντος τοῦ τὴν φυλακὴν ἐπιτετραμμένου. οὕτω δ᾽ ἔχων βίας, καὶ ἐπὶ μᾶλλον στενοχωρούμενος, μνείαν τῶν τῆς πηγῆς θαυμάτων ποιεῖται. δάκρυσι γοῦν τὸ πέδον δεικνύων διάβροχον, ἐπεκαλεῖτο τὴν Θεομήτορα, δέσποινα λέγων, ἣ διαφερόντως μὲν ἐν πόλῳ τὰς οἰκήσεις ἔχεις, φίλον δέ σοι καὶ ἐξαίσιον καταγώγιον χῶρος ὁ τῆς πηγῆς, σύ μοι γενοῦ βοηθὸς ἀπολεγομένῳ τοῖς σιδήροις τὸ πνεῦμα. σίδηρος γὰρ κατὰ τὸν θεοπάτορα, καὶ τὴν ἐμὴν διῆλθε ψυχήν. οὐκ ἀλλοτρίᾳ οὖν χρήσῃ τῇ πείρᾳ, κἀγὼ γὰρ ποίμνης τῆς σῆς ἐλάχιστον πρόβατον· ὡς γοῦν ἀποχρῶν εἶναί σοι κατοικητήριον κέκριται, καὶ

Θαῦμα λζ΄.

δὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὴ πάντως καὶ τῶν ὑπ' αὐτὴν οὐκ ἐλαχίστη φροντὶς, καὶ μάλισθ' ὅτ' ἐπὶ κενῆς πάσχειν προάγονται πείρᾳ τοῦ ἐφεδρεύοντος. οὔπω τέλος αὐτῷ ἐλάμβανεν ἡ εὐχὴ, καὶ γυνή τις πορφύραν ἐνδεδυμένη ἐκ τοῦ σχεδὸν διαφαίνεται. δύο δὲ καὶ ἀμφίπολοι ταύτῃ παρείποντο. ἐρυθραίνετο δὲ αὐταῖς ἡ ἀναβολὴ, ἥτις δὴ καὶ πλησίον ὅσον ἧκουσα, διεπυνθάνετο, τίς τε εἴη, καὶ ὅθεν ἡ ἔνεδρα, καὶ θαρρεῖν ἐκέλευε. θατέρᾳ τοίνυν τῶν ἀκολούθων προστάσσει ταῖς πέδαις, τὸ σταυρικὸν σημεῖον ἐπιβαλεῖν. τοῦ δὲ γενομένου, ὅσα καὶ ὕδωρ ὁ σίδηρος κατεχέετο, καὶ ὁ μοναχὸς ἐλεύθερος ἦν. ἀπάρας οὖν ἐκεῖθεν, καὶ πρὸς τὸ μέγα τέμενος τῆς τοῦ θεοῦ σοφίας ἐπιδραμὼν, τῆς συκοφαντίας ἀνίετο, τοῦ κρατοῦντος συμπαθὲς αὐτὸν κατιδόντος, τῷ ξένῳ τεραστίῳ τῆς

Θαῦμα λή. Θεομήτορος. Καὶ τὸ κατὰ τὸν Κουρκούαν ἐκεῖνον μάγιστρον διηγήσομαι. ὃς τῶν κατὰ τὴν ἕω στρατιωτικῶν ἐξηγεῖτο ταγμάτων. οὗτος τοίνυν, πρὸς δὲ καὶ ἡ σύζυγος τῷ ἐκ κοιλίας περιπεπτωκότες νοσήματι, ἐπειδὴ τ' ἄλλα πάντα δεύτερα τοῦ πιέζοντος ἦσαν, ἐπίδοξοί τε ἦσαν ὅσον οὔπω διαρρυῆναι, τῷ ἁπλῷ, καὶ ἀνωδύνῳ φαρμάκῳ τοῦ ἁγιάσματος, τὴν ἄσχετον ἐκείνην ἐπέσχον φορὰν, καὶ ῥοῦς πονηρὸς, οἷά τις δραπετεύων φυγὰς, τῷ θείῳ ῥεύματι πεδηθεὶς τὸ παραδοξότατον, κατὰ χώραν ἔστη παγείς.

Θαῦμα λθ'. Ἀλλὰ καὶ Ῥωμανῷ τῷ τούτων παιδὶ ὑπὸ λοιμώδους πάθους σφοδρῶς ἐπιβρίσαντος ἐνοχλουμένῳ, οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις, ἴαμα τὸ ἐκ πηγῆς ἐγγίνεται ὕδωρ, ὅθεν τὴν τοῦ δεποτάτου τάξιν ἦν πληρῶν, παρὰ τὸν τῆς Θεοτόκου νεὼν, τοῖς γεννήσασι δόξαν οὕτω, καὶ οὐ διέλιπεν, ἕως οὗ τῆς ἀνδρὶ προσηκούσης ἡλικίας ἐπέβη, τῆς Ἱερᾶς θυσίας προπορευόμενος.

Θαῦμα μ'. Οὐ μὴν ἀλλὰ καὶ Θεοφύλακτος ὁ μάγιστρος παντοδαπῶν νόσων πολιορκίᾳ στενοχωρούμενος, ταῖς ἀπὸ τοῦ θείου ἁγιάσματος ἐπιρροίαις, ἀπελαύνει τὸ πιέζον ἅ-

παν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παν ὡς τάχος ἐκσφενδονῶν, καὶ ταῦτα τῆς τέχνης πάμπαν ἀπελεγχθείσης αὐτῷ. πρὸς δὲ καὶ τῇ συζύγῳ σὺν ἄλλοις, καὶ κοιλίας ὀδύναις ἐφισχμένῃ τὰ ἔσχατα, τὸ ὕδωρ ποθὲν σωτήριον γίνεται, οὐ μόνον ἀπελάσαν τὴν νόσον; ἀλλὰ καὶ πρὸς τὴν κρείττω μεταβολὴν, μεθαρμόσαν τὴν ἕξιν. Τὸ δ' αὐτό φασι καὶ τῷ ἀβαστάκτῳ πατρικίῳ μικρὸν Θαῦμα μα'.
ὕστερον γεγενῆσθαι. ὀδύναις γὰρ κοιλίας καὶ τούτῳ ληφθέντι, ἀκεσώδυνον φάρμακον τὸ ὕδωρ ἐγγίνεται, μηδόλως ἀντωπεῖν ἐχούσαις πρὸς τοῦτο. ἐκεῖνο μὲν γὰρ πίστει θερμῇ ἐπίνετο, ἡ δὲ ὀδύνη ἀπεχώρει τῇ παρουσίᾳ ἐξισταμένη τοῦ ὕδατος. ταῦτα μὲν δὴ τοιαῦτα. ὁ δὲ λόγος κἂν τοῖς ἑξῆς προβαίνειν αἱρεῖται, ὅθεν καὶ τὰ λείποντα ἐφαρμόσειεν, εἰμὴ κεκμηκόσιν ὠσὶν ἐπιστήσαιτο. ἐπεὶ δὲ τῷ μὲν ὄκνῳ οὐκοῦν τις πάροδος ἐνταυθοῖ, ἑστῶσι δὲ καὶ μᾶλλον ὠσὶ, τὸν λόγον ἐκκαλεῖσθαι πρὸς τὴν διήγησιν, βραχέ' ἄττα προσθήσομεν τῶν παρειλημμένων γραφῇ. εἶτα καὶ ὅσα δὴ τῷ καθ' ἡμᾶς χρόνῳ τετέλεσται ἐπιθήσομεν. Ἀνδρί τινι Θαῦμα μβ'.
πάλιν ἑτέρῳ πονήρως λίαν τοῦ σώματος ἔχοντι, καὶ ἤδη τὸ ἆσθμα πυκνοῦντι, καὶ συνεχὲς ἀνασπῶντι, προσδόκιμον ἦν ὅσον οὔπω τεθνήξεσθαι. μετὰ βραχὺ δὲ καὶ τοῦτο ἐπεῖχεν ὑγρόν τι κατὰ τοῦ φάρυγγος ἕρπον, καὶ τὸν ἔσχατον κίνδυνον ἀνασεῖον. ἐπεὶ δὲ φόρτος γενόμενος ἔῤῥιπτο παρὰ τὴν πηγὴν, ἤδη μὲν τὰ τῆς ἱερᾶς μυσταγωγίας κατήρχετο, ὁ δὲ ὀφθαλμοὺς τε ἔμυε, καὶ ἐστροβεῖτο περιαγόμενος, πνέων μικρὰ, καὶ ἀπεγνωσμένα. ὡς δὲ περὶ τὸ Ἱερὸν εὐαγγέλιον περιῄει τὰ τῆς μυσταγωγίας, παντάπασιν ἔδοξεν ὁ πατρίκιος τὴν ψυχὴν ἐρυγεῖν· ὡς δὴ καὶ τὴν σύνευνον παρεστηκυῖαν ὀδύρεσθαι, οἰμωγαῖς, καὶ δάκρυσι τελευταίοις τὸν ἄνδρα διεξιουμένην. οὕτω δ' ἔχοντι τῷ κειμένῳ, ὀφθαλμοί τε ἐκλείοντο, καὶ τὸ στόμα πρὸς τὸ εὔσχημον διεπέφρακτο, καὶ ὅσα δὴ νεκροῖς τελούμενα ἦν ὁρᾷν· κύκλῳ δὲ τινῶν συῤ-

 ῥευσάν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ῥευσάντων, ϗ τὴν γυναῖκα παραμυθȣμένων, ϗ τῆς ὑπερ-
βολῆς ἀνακτωμένων τȣ̃ πάθȣς, παρὰ δόξαν ὁ πατρίκιος
ἀνανεύσας, ὕδωρ ἀπῄτει πιεῖν, ϗ γευσάμενος, τὴν μὲν
νόσον, ἢ τόγε ἀληθέςερον εἰπεῖν, τὸν μόρον, ἐκεῖ δια-
φίησιν. αὐτὸς δὲ τῷ ζωηῤῥύτῳ ὕδατι νευρωθεὶς, εὐθὺς μή
τινος χειραγωγήσαντος διανίςαται, καὶ ἔμπλεως ἡδο-
νῆς, καταλαμβάνει τὸ οἴκημα, ζωάγρια θύσων τῇ
Θαῦμα μγ΄. Θεομήτορι. Ἐπίσης δὲ τῷ ἀνδρὶ καὶ ἡ σύζυγος πέ-
πονθεν, οἴκοθεν ἔχȣσα τὸ παράδειγμα, νόσȣ τε ὁμοιό-
τητι, ϗ ὑγιείας ταυτότητι, ȣ̓ μόνον τȣ̃ ἀνδρὸς περιόντος,
Θαῦμα μδ΄. ἀλλὰ καὶ τῶν ὧδε μεταχωρήσαντος. Ἀλλ' εἰ καὶ τὸν
τὸ ἀπόςημα ἔνδον ἔχοντα τῷ λόγῳ προθείημεν, ὃ διεῤ-
ῥωγὸς τοῖς κέντροις τȣ̃ ἁγιάσματος τȣ̃ πύȣ κεκένωται, ϗ
ὥς τι περιττὸν ἐξεπτύσθη καὶ διεῤῥύηκεν, εἰς μέγα ἂν τὸν
Θαῦμα με΄. λόγον ἐκτείναιμεν. Οὐδὲ ὅπερ τῷ σωματοφύλακι
Ἰωάννῃ διεπράχθη τῇ Θεομήτορι προσθετέον, ȣ̓ τῷ φαύ-
λως ἐκείνῃ πεπρᾶχθαι καὶ ἀνειμένως, ἀλλὰ τῷ τὸν κόρον
φεύγειν ἐθέλειν ἡμᾶς, ϗ τὸ μέτρον ἅπασι τηρεῖν βȣλε-
σθαι. περὶ τὴν ἔξοδον γὰρ τῶν ȣ̓́ρων καὶ τȣ́τῳ τὸ πάθος,
ȣ̃ τί δεινότερον; ἀλλὰ τοῖς δεσμοῖς τῶν ὑγρῶν ὑγρὰ ϗ λύσις
ἐγγίνεται, ϗ τὸ θλῖβον αὐτίκα ἐχώρει πᾶν, συνεκρέον τῷ
Θαῦμα μς΄. ȣ̓́ρῳ τε, ϗ διακρινόμενον. Τὸ δὲ κατὰ τὸν πρωτοσπα-
θάριον Νικόλαον, τὸν ἐπὶ τῆς βασιλικῆς σακέλλης, ἤδη
λέξων ἔρχομαι, συνελὼν ὅσον ἐνδέχεται. τȣ́τῳ παῖς Εὐ-
θύμιος ἦν, ὡραῖος τὴν ὄψιν, τὴν ἡλικίαν νεώτερος, διὰ
ταῦτα μὲν οὖν τῷ πατρὶ καταθύμιος. πολλῷ γεμὴν ἐπι-
σπᾶσθαι εἶχε τὸ φίλτρον, ὅτι μονογενής τε ἦν, ϗ ὁ πα-
τὴρ ἐπ' αὐτῷ δὴ καὶ μόνῳ τὰς ἐλπίδας ἐσάλευε. τȣ́τῳ
λίθος κατὰ τὴν κύςιν ἐμφύεται. ὁ δὲ παῖς, ὑπέῤῥει τὴν
σάρκα, τȣ̃ πάθȣς αὐξάνοντος. ϗ τὸ δεινὸν, ἄμαχον ἦν.
ȣ̓́τε γὰρ ἰατρῶν ἀπέχρησε τέχνη τῷ πράγματι, ϗ πᾶ-
σα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σα μέθοδος, ἴσα τοῦ καὶ μὴ διαπεπρᾶχθαι λελόγιστο. ἔληγε δὲ καὶ ὁ πλοῦτος, λήγοντι τῷ παιδί. καὶ ὅσον ὁ παῖς συνετέτηκτο τὴν οὐσίαν τοῦ σώματος, τοσοῦτον ἡ περιουσία τοῖς ἰατροῖς ηὔξανέ τε, καὶ ἐλιπαίνετο. ἐπεὶ δὲ τὰ τῶν ἐλπίδων κενὴν ἔγνωκε μακαρίαν εἶναι τὸ δὴ λεγόμενον, καὶ οὐδὲν ἦν ἐντεῦθεν ἀπώνασθαι, ἢ τὸ τὸν πλοῦτον ὑφεστάναι πρᾶξαι, οὐδὲν δὲ καὶ τῶν Ἱερῶν ἀπείρατον ἔμεινε, τέλος πᾶσαν ἀπειπόντες ἐνέργειαν, ἐπὶ τὴν πηγὴν χωροῦσι, τὰς τοῦ ζῆν ἀγκύρας τῷ ἐκεῖθεν ὕδατι ἀναρτήσαντες. ἡμέραι δὴ παρῆλθον οὐχὶ συχναὶ, καί ποτε ὀδύναι δριμεῖαι καταῤῥαγεῖσαι, οὔτε ὕπνου παραγεύεσθαι εἴων, ἀπόσιτός τε ἦν, καὶ τὸ ποτὸν ἀπεσείετο. πολλοῦ γε μὴν ἀπεῖχεν ἵστασθαι, ἀλλ' οὐδὲ κεῖσθαι τούτῳ ἦν ἀνεκτόν. ἀστατεῖν δὲ, καὶ δίκην στρόμβου κυλίεσθαι, κατά τι μετριώτερον ἐνομίζετο. οὕτω δὲ πάσχων, τῷ νεωκόρῳ ἐπέτρεπε πρεσβείαν ἐπιμιγνὺς, σκεῦός τι τοῦ πάντα δρᾷν ἰσχύοντος ἁγιάσματος, ἐπορέξαι. εἴκει δὴ τῇ βίᾳ ὁ νεωκόρος, τῷ πρᾶξαι θελῆσαι τὸ πρὸς βουλῆς ἐκείνῳ, ἀμυδράν τινα καταθέσθαι χάριν αἰρούμενος. καὶ τὸ μὲν ὕδωρ πίστει ἐπίνετο. τὸ δὲ αὐτίκα τὴν κύστιν διαδραμὸν, τὸν λίθον ἀνώχλιζε βιαζόμενον, σφοδροτέροις τοῖς ὠθισμοῖς, τῆς ἕδρας ἐξιστᾷν μηχανώμενον, καὶ οὐ πρὶν ἀνῆκε πιέζον τὸν παῖδα, ἕως οὗ τὸν λίθον ἔξεδρον γεγονότα, ἐν οὐροδόχῳ ἀγγείῳ ἐξέκρινε, τέρας ταῖς ἀληθείαις ὁρώμενον, καὶ φύσιν ὑπερβαίνοντα, πῶς τοσοῦτος ὑπάρχων τοῦ ἀγωγοῦ διωλίσθησε. παρεδείκνυ γε μὴν καὶ τὴν βιάσασαν δύναμιν. αἵματι γὰρ καὶ ἕλκει πονηρῷ ἐμπέφυρτο, καὶ ὦζεν ὑπερφυῶς, τῷ χρονίζοντι ἕλκει. οὗτος ἀπαλλαγεὶς, καὶ ἰλλουστρίων τετίμητο ἀξιώματι, ἐν πλείονι σεμνυνόμενος τῇ ἐπισκέψει τῆς Θεομήτορος, ἢ τῇ ἐκ βασιλέως τιμῇ. τὸ δὲ ῥηθησόμενον, οὐ γραφῇ προσλαβὼν, οὐδ' ἀκοῇ διακούσας, ἀλλ' ἐν εἰκόσιν ἰδὼν, διηγήσομαι. Ὁ τῶν Ἱερο- Θαῦμα μζ'.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἱεροσολύμων πατριάρχης, Ἰωάννης δὲ οὗτος ὁ μακαρίτης ἦν, ἔκ τινος ῥεύματος προσβαλόντος τῇ ἀκροπόλει τοῦ σώματος, τὴν ἀκουστικὴν δύναμιν ἐκτραπεὶς, ἔπαθεν. ἐντεῦθεν, ἠχεῖν μὲν αὐτῷ ἐδόκουν τὰ ὦτα. αἱ δ' ὀδύναι μᾶλλον ἔδυνον καὶ αὐτῶν ἁπτόμεναι μυελῶν, καὶ βόμβος ἄπειρος ἐθορύβει τὴν κεφαλήν. κεκώφωτο δὲ παντελῶς τοῦ ἐνδομυχοῦντος πνεύματος ἐμπιπλῶντος τοὺς πόρους, καὶ τὸ προσιὸν ἅπαν ἔξωθεν ἀπαναινομένου. οὗτος τοίνυν κατά τινα τῶν ἱερῶν χρείαν μικρὸν ἀνεθεὶς, τὴν τῶν ἐκκλησιῶν μητέρα καταλιπὼν, τῇ Κωνσταντίνου ἐπιδημεῖ, Ἰσαακίου τοῦ ἀγγέλου τὴν ῥωμαίων ἡγεμονίαν ἰθύνοντος. ἀλλὰ πάλιν πλεῖον τὸ ἄλγος, καὶ ὀδύναι τὰς ὀδύνας διαδεχόμεναι, τὸ δεινὸν ἄμαχον διαπράττονται. ἐντεῦθεν, ἐκπεφύσσητο μὲν ἐκείνῳ, καὶ ὠγκοῦτο ἡ κεφαλή· ὁ δὲ ὄγκος τέρας τι τὸν ἄνδρα ἐποίει· ἀπελήλατο δὲ καὶ ὁ ὕπνος παντάπασιν ἀπρακτῶν, καὶ ὑπνώττων ὅσον τὸ ἐπ' αὐτῷ. ἰατρῶν δὲ ἡ χεὶρ νωθρά τε καὶ ἀμελὴς πρὸς ἐγχείρησιν ἐγνωρίζετο· ὡς δὲ πᾶν ἀπῆν φάρμακον, καὶ ἡ ἐλπὶς τοῦ ζῆν περιῄρητο, πρὸς τὴν πηγὴν τῆς Θεομήτορος γίνεται, καὶ βραχύ τι προσμεμενηκὼς τοῦ καιροῦ, τὸ μὲν οἴδημα, τῷ ὕδατι ταπεινοῖ, τῷ δ' ἐκεῖθεν βορβόρῳ, τὸ σεσηπὸς ἅπαν, καὶ βορβορῶδες ἐκκαλεῖται τῶν ἔσωθεν, καὶ πηλῷ καθαίρει διεφθορότα πηλὸν τὸ ταῖς παροιμίαις ἀξύμβλητον. καὶ λύει μὲν αὐτίκα πάθος τὸ οἰκουροῦν, τὴν ἀκοὴν κατὰ χώραν ἱστῶν, λύει δὲ καὶ τὴν γλῶτταν πρὸς δοξολογίαν τῆς Θεομήτορος. καὶ τὸ πάρεργον μεῖζον ἐμπορευσάμενος, οἴκαδε ἵετο τὸν αἶνον ἐξᾴδων τῇ τοῦ λόγου μητρί. τοῦτο δὲ μόνον προσθεὶς, τῶν ἔκπαλαι διαπεπραγμένων τῇ Θεομήτορι, πρὸς τὰ χρόνῳ τῷ καθ' ἡμᾶς τεράσια τὸν τοῦ λόγου ῥοῦν τρέψομαι, καὶ ἐς δεῦρο δὴ βαδιοῦ-

Θαῦμα μή· μαι. Στέφανος ὁ ἐπὶ τοῦ θυμιάματος. Κατζάτωρα τοῦτον οἶδε καλεῖν ἡ συνήθεια. οὗτος τὸ ἰσχίον πληγεὶς, ἡσύχῳ,

καὶ

καὶ ἀνεπαισθήτῳ τῷ ῥεύματι, ἀργεῖν ἠναγκάζετο. ἀνίατον δὲ πάντως ἴςε τὸ πάθος, ἢ καὶ δυσίατον, ἅτε τῆς κοτύλης ἐπικειμένης, ϗ τῷ γλȣτῷ περιςρεφομένῳ ἔνδον ἐπικαθημένης, ϗ μηδὲν ἀνιείσης ἐπεισελθεῖν, ἀλλὰ σύμπαν ἐκτρεπομένης τὸ προσιέμενον. ἔκαμνεν οὖν ὁ ἀνὴρ σφοδραῖς ὀδύναις βαλλόμενος. ȣ̓ τȣ̃το δὲ μόνον, ἀλλὰ καὶ τὰ εἰωθότα τȣ́τῳ ἠπράκτει. δαπάναις δὲ ἐξαισίαις τὰ ὄντα κατεδηδοκὼς, ϗ μηδέν τι πλέον ὀνάμενος, ἢ τὸ τὴν ȣ̓σίαν ζημιωθῆναι, πρὸς τῶν λόγοις πάντ᾽ ἀνύττειν ἐχόντων, ὡς ȣ̓δὲν ἦν αὐτῷ πλέον τῶν λόγων, ἤσχαλεν, ἠνιᾶτο τῷ πάθει, ϗ τὴν ζωὴν ἀπελέγετο. ἀλλά ποτε θεία τις ὄψις τȣ́τῳ ἐγγίνεται. ἰατρὸς γάρ τις Καλοκύριος ὄνομα προσιὼν, ἐδόκει αὐτῷ περὶ τῆς νόσȣ φιλοσοφεῖν, ϗ παραινῶν ἐπέτρεπεν ἔξω πȣ τῆς πόλεως γεγονότι παρὰ τὸν τῆς Θεομήτορος δόμον, ἐμφορηθῆναι τȣ̃ ἁγιάσματος, ϗ τὸ ὑγιαίνειν, ἕξει χώραν αὐτίκα, ὡς δὲ τȣ̃ ὕπνȣ ἀνεῖτο, τῇ πηγῇ προσβάλλει, ϗ συχνὸν ὅσον ἐκεῖθεν ἀποῤῥοφήσας, ϗ τȣ̃ πηλȣ̃ ἐπιχρίσας, τὴν κοτύλην ἔσχε κατὰ χώραν ἑλισσομένην, ϗ ȣ̓δὲν ἦν τȣ̃ λοιπȣ̃ κωλῦον τȣ́τῳ τῆς οἴκαδε ἅπτεσθαι. τὴν γεμὴν εὐεργέτιν προσαμειβόμενος, ἔγγραφον ταύτῃ ἐγχειρίζει τὸν χάρτην, πιςȣ́μενος, ὡς διὰ βίȣ ἔςαι, ὅσα δȣλείας ἔργα τῇ Θεομήτορι ἐκπληρῶν. ϗ ἦν γε ȣ̔́τω τὴν τάξιν διατελῶν, ὀρθοςάδην ἐπὶ χειρῶν τὸ θυμιατήριον περιφέρων, ϗ θυμιάμασιν ἀναῤῥέȣσιν εὐῶδες, ϗ δίοσμον, πλήρη καπνȣ̃ εὐώδȣς τὸν οἶκον τῆς Θεομήτορος ἐμπιπλῶν. Α῝μὲν οὖν ἐν τοῖς ἄνω χρόνοις τῇ πηγῇ τȣ̃ ζῶντος ὕδατος παρὰ δόξαν ἐνήργηται, ταῦτά ἐςι. μᾶλλον δ᾽ ἐκ τῆς ἀπειρίας αὕτη ςαγών. ποῖος γὰρ ἄντις ἐπιςαίη νοῦς τοῖς καθ᾽ ἕκαςον; ὁδὲ λόγος βȣ́λεται κἂν τοῖς ἑξῆς προελθεῖν, καὶ τοῖς παλαιοῖς τὰ νέα συνάπτειν, καὶ προστιθέναι τὰ λείπον-

Καθ. Γ'.

ἀρχὴ τῶν νέων θαυμάτων.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ποντα, μικρὸν δὲ ὅσον ἀνακτέον αὐτόν. ἐπεὶ γὰρ ἔκειτο τῇ πασῶν τὸ ἄρχειν λαχȣ́σῃ, τὸν τῆς δȣλείας ζυγὸν ὑπελθεῖν, ϗ τὸ εὔδαιμον εἰς τοὐπίσω ταύτῃ χωρῆσαι, ϗ τῆς πρὶν τέρψεως ἀντίῤῥοπον τὴν ἀμορφίαν κληρώσασθαι, τί γίνεται. περιήκει μὲν τὸ κράτος, εἰς τȣ̀ς ἐξ ἀγγέλων ὁμαίμονας, ϗ ὠδίνειν ἄρχεται τὰ δεινὰ, ϗ τῇ παραλόγῳ μεταθέσει δῆθεν τῶν σκήπτρων, ἐς μέγα τὶ χρῆμα τὸ δεινὸν ὀγκȣ̃ται, ϗ πλήρης μὲν αὐτίκα πλοίων ἡ θάλασσα, ϗ ἡ πρόφασις εὔλογος· τάφος ὁ ζωηφόρος χριςȣ̃, ϗ ἡ τȣ̃ κληρονόμȣ βασιλέως καταγωγή. ἀκοαὶ δὲ πάντας ἐξεδειμάτουν, ϗ μετὰ βραχὺ, ςόλος τὴν καθ᾽ ἡμᾶς ἐπεκάλυπτε, ϗ ȣ̓δὲν ἦν, ὃ τῶν δεινῶν ȣ̓κ ἦν προσδοκᾶν. ϗ τί δεῖ τὰ πολλὰ λέγοντα διατρίβειν, ϗ κύκλῳ περιϊέναι, τῇ σιδηρέᾳ μαςιζόμεθα ῥάβδῳ, ϗ τῷ πυῤῥῷ γένει καταπιμπρώμεθα, ϗ βαβαὶ τῶν λόγων, ἡ βασιλὶς τῶν πόλεων δȣ́λη, ϗ ναῦς ὑπȣργεῖ τῷ ἱςίῳ παρεγκεκλιμένῳ τȣ̃ τείχȣς τοῖς ἐχθροῖς ἐκείνοις τὴν ἄνοδον. ἐντεῦθεν πῦρ ἐπαφίεται, ϗ δαπανᾶται μὲν τὸ πλεῖςον αὐτῷ τῆς βασιλευȣ́σης, τὸ δὲ λεῖπον ὅσον ἐν ἱεροῖς κόσμοις, ϗ ἀναθήμασι, ϗ ἄλλως εἰς πλȣ̃τον, ϗ περιφάνειαν ἐκφορεῖται. ϗ τίς ἂν εἶδε θεῖον ἔκπωμα τȣ̃ φρικώδȣς αἵματος ἐκκενȣ́μενον, εἶτα καὶ συντριβόμενον. πέπλον τε διαῤῥυγνύμενον ἱερὸν, ϗ μερὶς τοῖς διαρπάζȣσι ταῦτα γινόμενα. εἰκών τε αὖ τȣ̃ σωτῆρος κατὰ γῆς ἐῤῥιμμένη, ϗ ποσὶ, φεῦ, τȣ́των ἀντωθȣμένη, ϗ τὸν κόσμον ὅσος χρυσȣ̃ καὶ ἀργύρȣ περιδυομένη, ϗ γυνή τις οἴςρῳ βεβακχευμένη, ὦ γῆ καὶ ἥλιε, κατὰ τῆς θείας ἐπωρχῆτο τραπέζης ἀσέμνοις περικλωμένη λιγύσμασι, ϗ τῷ συνθρόνῳ ἐνίδρυτο, δεῆσαν διαναπαύεσθαι. τȣ́των δ᾽ ἐπόπτης τῶν φρικωδῶν, τὸ τῆς σοφίας μέγιςον τέμενος. τὸ δ᾽ εὐγενὲς τῆς πόλεως ἅπαν. καὶ ἡλικίας διάφορον, ἣν ὁρᾶν ἀτίμως περιαγόμενον. καὶ

παρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παρθένων αἰδὼς καθυβρίζετο, ϰ̀ τὸ γῆρας εἵλκετο, ὅσον τε ἁγνὸν, ϰ̀ ἀφιερωμένον θεῷ ἠχρειῦτο, ϰ̀ τ᾽ ἄλλα οἷα εἰκὸς πόλιν ὅτω μεγάλην τε, ϰ̀ περιφανῆ πάσχειν, ἀσελγῶν ἀνθρώπων ταύτῃ ἐπεισφρησάντων, ἵνα μὴ καθ᾽ ἕκαςον διατρίβω λέγων. ϰ̀ δραπέτης μὲν ὁ κρατῶν, ἑνὸς τῦ σώζεσθαι μόνυ, τὰ πάντα προέμενος. ὁ δὲ τῶν ἱερῶν ἐξηγύμενος, ϰ̀ τῷ μεγίςῳ θρόνῳ ἐνδιαπρέπων, ὀναρίῳ δυςήνῳ ἔποχος, ἀντίτυπος τῷ χριςῷ γίνεται, ὡς τὴν νέαν ἱερυσαλὴμ ἐξιών. ὐ μᾶλλον ὑμνύμενος, ἢ θρηνύμενος. ἐπεὶ δὲ πᾶσαν ἀσελγείας, καὶ παρανομίας διεξεληλυθότες ὁδὸν μετὰ τὴν κατάσχεσιν, τὸ τελευταῖον, ϰ̀ τὴν ἡμῶν εὐσέβειαν ὡς τυραννήσοντες ἥκασιν ὕςερον, τὶ δὴ πράσσεται; κλείεται μὲν τοῖς εὐσεβεῖν ἡρημένοις τεμένη τὰ ἱερά. ἡ δὲ χάρις ἐκείνων τύτοις ἐμφιλοχωρύντων ἀφίπταται. ὐ γὰρ δυσσεβεῖν ἀνδράσιν ἡρημένοις ἐπιμίγνυσθαι εἴωθε. ϰ̀ τῦτο μὲν ἁπανταχῦ ταῖς ἐκκλησίαις τῆς βασιλευύσης ἐγγίνεται, αἵ τε γὰρ ζωηφόροι τράπεζαι, μεταπλάττονται, ϰ̀ ἡ τῆς θυσίας ἐξαλλαγὴ διαπράττεται. τὸ δὲ δὴ μεῖζον ἡ καινοτομία τῦ δόγματος, ϰ̀ ἡ ἀφαιρῦσα προσθήκη τὸ μέγιςον, ὅση δὲ καὶ ἡ ἐκ τῦ ἀζύμυ ζημία. ἔνθεν οἱ μὲν τῶν εὐσεβεῖν ἡρημένων ἐγκλείονται, ϰ̀ καπνῷ λυτρῦ τὸ πνεῦμα προΐενται, ἑτέροις δεσμὰ περιτίθενται, οἱ δ᾽ ἀπελαύνονται, ϰ̀ ἱεροῖς εἴργεται τὰ ἐφειμένα τελεῖν, ϰ̀ μονάζειν ἐθέλυσι. τὰ τῆς μυςαγωγίας ἀτέλεςα. θυσία δὲ ἡμῶν, ὐδαμῦ, ϰ̀ νεκροὶ τῶν συνήθων ἐκτὸς κατὰ γῆς ἐρριμμένοι. τύτοις γὰρ οἱ κακοὶ, ϰ̀ κακῶν κάκιςα ᾤοντο τὰ ἡμέτερα τυραννήσειν, ϰ̀ ὑπ᾽ αὐτοῖς ἀγαγεῖν. ταῦτα δὴ ὖν πάντα, κἂν τῷ τεμένει τῷ τῆς Θεομήτορος πηγῆς διαπεπραγμένοι. Τὴν τῶν θαυμάτων χύσιν ἀναχαιτίζυσι, δείκνυσι δὲ καὶ ἡ μυςικὴ τράπεζα ἄχρι καὶ ἐς δεῦρο, λατινικῶς διεσκευασμένη. ἄτεκνοι μὲν ὖν

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τὸ ῥεῖθρον κατὰ τὰ ἱεριχούντια ὕδατα, ϗ ἦν ἐξ ἐκείνου μηδὲν καινὸν ἡ πηγὴ διαπραττομένη, εἰς ἔλεγχον ὥσπερ καθισαμένη, ὡς ἀργεῖ παρ᾽ αὐτοῖς τὰ τῆς χάριτος, ϗ ὁ τῶν θαυμάτων ἄφθονος ἐπέχεται ῥοῦς. ὕδωρ δὲ ἦν ἄλλως, εἰς πόσιν δὴ καὶ μόνον ἀνειμένον τοῖς χρήζουσι· χρόνος πολὺς διεῤῥύη τῶν μεταξὺ, ϗ ὁ παιδεύων καὶ πάλιν ἰώμενος, ἄνωθεν ἵλεων ἐφορᾷ, ϗ συντρίβει μὲν αὐτίκα ἔθνος τὸ συντρίψαν ἡμᾶς, ϗ κρίνει δικαίως κατὰ πᾶν διασπείρων αὐτοὺς, ϗ τὰ κῶλα, τῆς ῥωμαίων ἁπανταχοῦ τιθεὶς γῆς, οὐκ ἐν ἐρήμῳ, ἀλλ᾽ ἐν πλατείαις μέσαις, ἵνα στήλη τις εἴη τοῖς εἰσέπειτα τῷ χριστοῦ ἔθνει διαίρειν χεῖρα ἐπαιρομένοις. αὖθις δὲ τὸ οἰκεῖον ἔθνος ἀνακαλεῖται, ϗ εἰς ἓν ἄγει τὸν περιούσιον τῷ ὄντι λαὸν, ϗ πατρίδα πάλιν τὴν Κωνσταντίνου αὐτοῖς ἐγχειρίζει, ϗ ἀνὴρ ὑπουργεῖ τῷ θείῳ θελήματι. ἀνὴρ δραστήριος, ϗ τ᾽ ἄλλα οὐκ ἀγεννὴς, δρᾶσαι δὲ τὸ πᾶν καὶ πρὸς ὑπηρεσίαν τοιαύτην θεοῦ ἱκανώτατος. ὁ τὴν ἐκ πολλοῦ στρατηγίαν θανοῦσαν, ἀναβιῶναι παρασκευάσας, εἰς μέγα τε ὡς ἀπὸ κέντρου κύκλον, τὰ τῆς ῥωμαίων ἐκτείνας ἀρχῆς. φιλεῖ γάρ πως ταῖς τῶν πραγμάτων καινοτομίαις, ϗ φύσις καινοτομεῖν ἑαυτήν. προσήκοντα γεμὴν ταῖς πράξεσι ϗ ἀνδρῶν γεννᾶια προβάλλειν φρονήματα ὥσπερ ἑαυτὴν νικῶσαν, ἵνα τὰ κατὰ σκοπὸν ἀνύττειν ἔχωσι τῷ θεῷ, κἂν τοῖς ἐναντίοις, καὶ οἷς χρηστεύεσθαι εἴωθε. τούτῳ τοίνυν τὴν βασίλιον ἐγχειρίζει ἀρχὴν, ϗ αὐτὴν δῆτα τὴν βασιλεύουσαν· ἀπελαύνει γὰρ εὐθὺς ἐκεῖθεν τοὺς βιασαμένους ταύτην λῃστὰς, ϗ τίθησιν ἐκποδών· κατὰ ῥοῦν δ᾽ ἂν ἐκείνῳ τῶν πραγμάτων δὴ φερομένων, καὶ τὰ τῆς πηγῆς ἀνεσκίρτησεν, εἰμὴ τοῖς ὑβρισταῖς συμπράττειν ἐδόκει, κἂν οὐχ ἑκὼν ἀλλὰ τυραννούμενος, ὅπερ τέως, ἥκιστ᾽ ἐχρῆν. ἔμενε γὰρ καὶ πάλιν τὸ ὕδωρ τῆς χάριτος ἀμοιροῦν ὡς τὸ πρότερον. ἐπεὶ δ᾽ ἐκεῖνος

ἐξ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐξ ἀνθρώπων ἐγένετο, καὶ ὁ καθ᾽ ἡμᾶς ἀνίσταται βασιλεύς, ἡ κοινὴ τοῦ καθ᾽ ἡμᾶς γένους φιλοτιμία. δι᾽ ὅν γε οἶμαι καὶ πατρὶ τὰ τῆς ἀρχῆς περιῆλθε καὶ ἡ τῶν πόλεων αὐτὴ βασιλίς. ὃν ἐγὼ φαίην ἂν καλοῦ παντὸς τύπον καταπεμφθῆναι τῷ βίῳ. ἵνα μὴ δ᾽ ἐφ᾽ ἅπασι τοῦ ἐντελοῦς ἀπολείποιτο, ἐξ οὗτε καὶ τὴν παίδευσιν αὐτήν, ἔστι τι πρὸς τὸ κρείττω εἶναι, πορίσασθαι, ἡ σταθηρὰ φρήν, ὁ κατὰ τὸν Πύλιον ἐκεῖνον ἠρέμα ῥέων τοὺς λόγους, καὶ ἡδυτέρους τοῦ μέλιτος, ἢ τόγε ἀληθέστερον φάναι τοῦ νέκταρος, καὶ ὄπα πέμπων καθ᾽ Ὅμηρον εἰπεῖν λειριόεσσαν. ᾧ κατὰ τὴν καρδίαν πάντως θεοῦ τὸ φρονεῖν, εἴπερ κατὰ τὸν Δαβὶδ καὶ πρᾳότης τούτῳ τὸ γνώρισμα. ἐπεὶ οὖν οὗτος ἀνίσταται, ὁ πολὺς τῷ ὄντι καὶ μέγας Ἀνδρόνικος, διαρρήσει μὲν αὐτίκα τὸ δυσσεβὲς γραμματεῖον ἐκεῖνο, καὶ γίνεται κέρας ἡμῖν σωτηρίου, πόρρω πη ἀπελαύνων τοῦ μέσου, ὅσα τῷ πατρὶ μὴ καλῶς δεδογμένα, θορύβου τὴν ἐκκλησίαν ἐνέπλησεν. ἀνθεῖ δὲ καὶ πάλιν εὐσέβεια, καὶ οἱ πρὶν ἐπὶ καλῷ ἀπωσμένοι, μετὰ λαμπροτέρων ἐπανάγωνται τῶν τροπαίων, καὶ λύεται μὲν ἡ ἀπὸ θεοῦ διϊστῶσα ἕνωσις, καὶ ὁ ἐπαινετὸς τῷ ὄντι, γνωρίζεται πόλεμος. οὐ γὰρ εἰρήνην ᾤετο τὴν τὸ θεῖον ἐκπολεμώσασαν. Τούτου δὴ γεγονότος, καὶ τῆς εὐσεβείας λαμπρὸν διαλαμψάσης ἁπανταχοῦ, τὰ τῆς Θεομήτορος ὠδίνειν πάλιν ἄρχεται θαύματα, καὶ γίνεται βασιλεὺς τῇ πηγῇ Ἐλισσαῖος ἄλλος, οὐχ ἅλατι γόνιμον τὸ ὕδωρ ἐγκαθιστῶν, ἀλλ᾽ εὐσεβείᾳ μᾶλλον. καὶ οἷς τῶν ἄλλων διαγέγονε παμπληθὲς ὑπερέχων· συμμαρτυρεῖ γὰρ ὡς ἄντις εἴποι, καὶ τὸ κῦρος, ἡ Θεομήτωρ ἐπιψηφίζεται, καὶ ὥσπερ ἐπιγαννυμένη τῇ εὐσεβείᾳ τοῦ ἄνακτος, ἀμείβεται τοῦτον ταῖς ἐκ τοῦ ὕδατος χάρισι· τοιοῦτον γὰρ τὸ θεῖον ἀεὶ ἐμφιλοχωρεῖν εἰωθός, καὶ ἐπιμίγνυσθαι τοῖς ἀνθρωπίνοις πράγμασι, τῇ εὐσεβείᾳ τοῦ ἄνακτος δυσωπούμενον. ἀλλὰ

Πάλιν τότε τὰ τῆς πηγῆς ἤρξαντο θαύματα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πῶς ἄντις τὴν τῶν θαυμάτων πλημμύραν ἐξαριθμήσαιτο; ȣ̓ δὲ γὰρ εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ ϛόματα εἶεν, ἵν' εἴποιμι κατὰ τὸν εἰπόντα, ȣ̓κ ἂν δυναίμην πρὸς βραχύτι φᾶναι, ϗ τὸ πλῆθος ἐξακριβώσασθαι. ἀλλ' ȣ̓δ' ἂν εἰ πᾶσαν τὴν ἐν ἀνθρώποις δύναμιν ὑπερβαλοίμην ϗ φωνὴν καὶ γλῶτταν, ȣ̓κ ἄν ποτ' ȣ̓δ' ἐγγὺς αὐτῶν ἀφικοίμην. πλὴν ὅσα ἡμῖν ἐκ πάνυ πολλῶν ὀλίγα διὰ μνήμης σώζεται λελέξεται. ȣ̓δὲ γὰρ ἄλλως ἐφικτόν γε ἡμῖν τοῖς κατὰ μέρος ἐπεξελθεῖν, ϗ ϛαγόνας ὑετῶν ὑπερβαίνοντα, ἁπλῆ δέ μοι πάντως ἔϛαι, ϗ ἀκατάσκευος ἡ τῶν θαυμάτων τῆς πανάγνȣ διήγησις, μηδὲν ἐπαγομένη, τῶν ὅσα ταῖς περινοίαις ἐπεξεργάζεσθαι εἰώθασι. ἀποχρῆν ϗ γὰρ αὐτοῖς ἐς κάλλος οἶμαι καὶ μέγεθος, μνήμη δὴ καὶ μόνη τῶν πεπραγμένων, οἷόντι τῶν ἐκ φύσεως ἐπανθεῖν, μηδέν τι κομμωτικῆς περιεργίας ἐπιχρωννύμενον ἔχȣσι. πλείϛων δὲ θαυμάτων ἐπιῤῥεόντων, ϗ κατὰ θαλάσσας συχνὰς ὡς εἰπεῖν, ϗ αὐτὸ τȣ̃το ἕκαϛον ἐπειγόντων εἰπεῖν, ἑλοίμην ἂν ἐγὼ τὸ πρῶτον τῷ ἑξῆς βεβαιȣ̃ν, ϗ τὴν τάξιν ταῖς ἐνεργείαις ἀποδιδόναι, ὅθεν ϗ τὸ πρῶτον, πρῶτα διηγητέον μοι.

Θαῦμα μθ. Ἀνήρ τις Λακεδαιμόνιος, ἔμπορος μὲν τὸν βίον, γυναικὶ καὶ τέκνοις συζῶν, νόσῳ δεινῇ καὶ ἀκȣ̃σαι μόνον, κατάσχετος γεγονὼς, ἔκειτο. ὁ μὲν ȣ̓̃ν πάσχων, Γεώργιος, Μαικλιος ἐκείνῳ ἐπώνυμον. ἡ δὲ νόσος, φαγέδαινα, νόσος εὖ μάλα καταδαπανῆσαι, ᾧ προσφυῆ, ἄριϛα ἱκανὴ, ὠμότερον δὲ ϗ τὸν βίον καταφαγεῖν ἰσχυρά. ἄρχεται μὲν ȣ̓̃ν τὸ δεινὸν τῷ ἀνδρὶ, ἀπὸ τῶν περὶ τὴν κύσιν μορίων, ϗ αὐτὸ μὲν τὰ πέριξ κατεδαπάνα, ϗ κατήσθιεν ἀπηνέϛερον. ἀνεδῶς δεμὴν, ϗ κατὰ τῆς αἰδȣ̃ς εἷρπε, ϗ ταύτην πρὸς τὸ δοκοῦν διαθέμενον, μηρῶν τε ἥπτετο ἑκατέρων, ϗ περὶ τὴν κοιλίαν ἀνέτρεχε, ϗ μέγα ἦν τὸ δεινὸν, τὰ κύκλῳ διανεμόμενον· ἀλλ' ȣ̓δέντι ἧττον τȣ̃ πάθȣς, ϗ οἱ κατὰ τȣ̃-

[margin: ἴσ. ἀνίδην]

τȣ δὴ

του δὴ ἀνθιστάμενοι ἔπρασσον· ὅσον γὰρ ἐκείνῳ πρὸς δαπάνην ἤσαρξ, τοσοῦτον ἐκείνοις τὴν περιουσίαν ἐκμυζῆσαι ταῖς διακένοις τῶν ὑποσχέσεων ἤσπουδή. ἐπεὶ δ' ἤμεν νόσος ἐπέκειτο τὸν ἄνθρωπον κατεσθίουσα, πρὸς δ' ἰατροὺς ὁ βίος ἐνδεῖν ἐκείνῳ λελόγιστο, καὶ ταῦτ' οὐ πενιχρῶς ὡς μάλιστα διακείμενος, πρὸς τάφον δὲ καὶ τὰ λείποντα τῇ νόσῳ ἤδη ὅσον οὔπω ἐταμιεύοντο. ἤτε γὰρ ἐνδοτέρω πλάσις ἅπασα διεφαίνετο, καὶ ὀδύνης ὑπερβολαῖς τὴν ζωὴν ἀπελέγετο, χαίρειν φράσας τοῖς ψευδέσιν ἐκείνων ὕθλοις, καὶ πλάσμασιν, φόρτος τῇ κλίνῃ γίνεται, πρὸς τὸ ὑπὸ γῆν καταφύγιον ἐκφερόμενος, περί που τὸν ἔξω λεγόμενον κίονα, τῆς Κωνσταντίνου ἐντὸς, ὅπου καὶ ὕδωρ ἐκρεῖ νοσημάτων ἀλεξιτήριον, ἐκ παλαιοῦ καὶ τοῦτο ἀνειμένον τῇ τοῦ λόγου μητρί. ἀλλ' οὕτω διαβασταζόμενος, φωνῆς τινὸς ἐπακοῦσαι λέγεται, παρὰ τὴν πηγὴν ἰέναι λεγούσης, ἐκεῖσε δὴ καταπεφευγέναι, καὶ τὴν ῥῶσιν αὐτίκα μάλα εὑρεῖν· πρύμναν τοίνυν τὸ τοῦ λόγου κρουσάμενοι, οὕτως ἔχοντες ἐπὶ κλίνης τὸν φόρτον, παρὰ τὴν πηγὴν γίνονται, καὶ τετραπλῆς δεκάδος μήπω τῷ νοσοῦντι διηνυσμένης τῶν ἡμερῶν, τὸ πάθος ἐξίαται, ὁμοῦ τε γὰρ ὕδατι κατεκλύσθη, καὶ τῷ ἐκεῖθεν κατεχρίσθη πηλῷ, ἐκ ποδῶν τῶν φαρμάκων διαῤῥιφέντων, καὶ ἦν ἰδεῖν τὸ παράδοξον, ἅμα φωτί. ἁπανταχοῦ τοῦ πάθους, οἷά τινας διαυγεῖς φολίδας ὡς νεαζούσης σαρκὸς, κατὰ τῆς ἐπιφανείας ἐξηνθηκυίας, καὶ ὥσπερ ὀπὸς ἐκείνας γεγενημένας τῷ λοιπῷ τραύματι. καὶ κατ' ὀλίγον ἀρτιωθεὶς ὀπρώην ἴσα καὶ λίθος ἀκίνητος, τοῖς οἴκοι ἐπιφοιτᾷ, ὡς ἐκ τάφου πᾶσι προσδοκώμενος καὶ ὁρώμενος. ἵνα δὲ μὴ τοσοῦτον ἔργον ὁ μέγας αἰὼν χειρωσάμενος ὡς μὴ δὲ πραχθὲν διάθοιτο, πεποιημένος ἐξίτηλον, καὶ χρώμασι τὰ τοῦ θαύματος ἐντυποῖ τῷ νεῷ, δι' οὗ τὸν αἶνον καὶ ἐς δεῦρο συνάγει τῇ Θεομήτορι. τοῦτο μὲν τοιοῦτον, ἕτε-

ρον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρον δὲ οὐδὲν ἐκείνου ἐλλεῖπον τῷ μεγέθει, καὶ θαύματι λέξων ἔρχομαι. Θαῦμα ν'. Ἀνδρὶ γὰρ ἑτέρῳ, σέρραι δὲ ἦσαν ἐκείνῳ πατρὶς, φύματί τι θάνατον ἐπισεῖον, περὶ τὸν ἄνωθεν κτένα, ἐκφύεται. ἱκανὸν δὲ κἀκεῖνο τόπον διανεμηθὲν, περιωδυνίαις ἦν τὸν ἄνδρα σφοδροτάταις ἀλγύνον. τοῦ δὲ προτέρου θαύματος, τῇ φήμῃ ἁπανταχοῦ διατρέχοντος, ἐπεὶ κἀκεῖνον διεπεφθάκει, ὑπόπτερος γίνεται τῷ νεῷ, καὶ γεγονὼς, τὸ πάσχον τῷ ἐκ τῆς πηγῆς ἀνέψυχεν ὕδατι· τὸ δ᾽ ἀκμάζον μᾶλλον καθεωρᾶτο, ἀμανίτῃ παμμεγέθει τὸ εἶδος παρεοικός. μόλις οὖν ὀπήν τινα διανοίγνυσιν, ἥτις αὔξην κατ᾽ ὀλίγον λαμβάνουσα, εἰς μέγα πλάτους ἐκτείνεται· ἄπορος δὲ τὰ μάλιστα, καὶ ἀκριβῶς πένης ὢν ὁ ἀνὴρ, ἐνδείᾳ τοῦ κυβερνήσοντος, καὶ χεῖρα ὀρέξοντος, ᾔσχυνε τὰ ἱμάτια ταῖς ἐκκρίσεσι, καὶ μῖσος ἦν τῇ νόσῳ, πᾶσιν ὁρώμενος, ἅτε τῷ πάθει καθηλούμενος, καὶ ἀκινητίζων. ὁ τοίνυν τὴν φροντίδα τοῦ νεὼ ἐπιτετραμμένος, ἵνα μὴ ἀηδίας ἐμπιπλᾷν ἔχοι τοὺς παριόντας, ἐκ ποδὸς ἐκέλευσεν ἑλκυσθέντα, ἔξω που τῆς αὐλαίας. ὥς τι ἄγος διαρριφῆναι, καὶ ὁ μὲν ἔρριπτο, οὐμὴν δὲ καὶ τῇ τοῦ λόγου μητρὶ ἀνάξιος εἶναι ἐκέκριτο, ὅσον ἐκ προαιρέσεως οἰκειούμενος· ἐρριμμένον δ᾽ οὕτω τινὲς τῶν ἐκ τῆς πατρίδος ἐφευρηκότες, ἐπιμελείας ἠξίουν τῆς προσηκούσης, τῷ τε ἁγιάσματι ἐπικλύζοντες, καὶ ἄλλως τὰ δυνατὰ συναιρόμενοι. τὸ μὲν οὖν πάθος χρόνῳ τῷ μεταξὺ διερρυηκὸς, τῆς κεφαλῆς ἀποτέμνεται, προσεπαγόμενόντι μικρὸν καὶ τοῦ ἥλου, τὸ λεῖπον δὲ ῥιζωθὲν ἔμενε, δυσαποσπάστως ἔχον τῆς ἕδρας ἐκστῆναι. οἱ τοίνυν συμπατριῶται, καιρῷ τινι ἐξιόντες τῆς Κωνσταντίνου, ἅτε δὴ τὸν ἄνδρα μελέτην ποιούμενοι, ἐπεὶ τὸν ἱερὸν βόρβορον προσεπιχρίειν ἀδυνάτως εἶχον, κατὰ βάθους γὰρ ὁ ἧλος ἐρρίζωτο, ἄλλως τε καὶ δάκνων ἦν ὡς μάλα τῷ ὑγρῷ πεφυρμένος, τὸν βόρβορον τοῦ ὑγροῦ διατμίζοντες ἐπὶ ζῶσι

τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῖς ἄνθραξι καὶ εἰς χῦν ἐκλεπτίνοντες, εἶτα καλάμῳ τὴν κόνιν ἐμβάλλοντες, καὶ πνοῇ πραείᾳ διαφυσῶντες, τὸν ἐνδοτάτω ἧλον ἠρέμα κατέπασον, καὶ μετ' ὀλίγον συσσαπέντων αὐτῷ τῶν ῥιζῶν, ἐξ αὐτῶν κρηπίδων καταπίπτει ὁ ἧλος, σεσημμένον τι κρέας μέλαν, καὶ ὀδωδὸς, βαρεῖαν ἀποφορὰν προϊέμενον. τούτου δ' ὡς εἴρηται ῥιζόθεν ἀποσπασθέντος, σάρξ ἐπέτρεχε, καὶ ἀνέβαινεν, τοῦ χοὸς, ὡς οἶμαι, μεταστοιχειωμένου πρὸς σάρκα, τοῦτο δὴ τὸ παράδοξον, οὐ πολὺ γὰρ τὸ μέσον, καὶ τὸ διαλεῖπον ἐκεῖνο ἠρέμα χάσμα ἄρτιον διεδείκνυτο, πηλῷ καὶ ὕδατι τοῖς ξένοις φαρμάκοις ἀναπληρούμενον, καὶ τῆς νόσου θᾶττον ἀπαλλαγεὶς ἀνεχώρει, θεῷ καὶ τῇ αὐτοῦ μητρὶ, πλατεῖ τῷ στόματι ἐπευχαριστῶν. Ἕτερος πάλιν ἐκ δαφνουσίας ὁρμώμενος, νῆσος δὲ αὕτη, ἐς δεξιὰ εἰσπλέοντι τὸν εὔξεινον πόντον διακειμένη, οὗτος τὰ περὶ τὴν ἕδραν πληγεὶς, τὸ παχὺ χωρίον ἔσχε διάτρητον, ἔνθεν τούτῳ ἡ ἔκκρισις, οὐ κατὰ φύσιν διήει, ἀλλὰ περὶ τὴν ὀπὴν τοῦ χωρίου τουτουῒ θλιβομένη, ἐφέρετο, ὅσην δ' εἶναι τὴν ὀδύνην εἰκὸς, χρεὼν ἐκλογίζεσθαι. χρόνος οὐ πολὺς ἐρρύη τῷ ἀρρωστήματι, καὶ σήπεται μὲν τὸ κατὰ τὴν ἕδραν ἅπαν αὐτῷ, ἀλλὰ καὶ τὸ ἦτρον αὐτὸ διερράγη πεσόν. ἡ δὲ κόπρος αὐτομάτη ἐξέρρει, τοῦ συνέχειν λαχόντος, ὥσπερ ἔφην, διαρρυέντος, τί τὸ ἐπὶ τούτοις; τῶν φυσικῶν ὀργάνων διαλυθέντων, καὶ ἰατρῶν ἀπεῖπε τέχνη, τὸ ἐγχειρεῖν, θεῷ δὲ μόνῳ, τὰ τῆς νόσου εἶναι ἐπιτρεπτέα διέγνωστο. οἱ προσήκοντες οὖν ἐκεῖνον διαβαστάσαντες, παρὰ τὸ ζωήρρυτον ἄγουσιν ὕδωρ· ἐπὶ τόσον δὲ τὸ σεσηπὸς ἴσχυσεν, ὡς μὴ μόνον σαρκὸς φείσασθαι, ἀλλὰ καὶ τὸ περὶ τὴν ἕδραν ὀστοῦν, ὃ ἱερὸν ἐπικέκληται, διαρρῆξαι, καὶ τοῦ φυσικοῦ διασπᾶσαι συνδέσμου, ὅθεν καὶ δεῆσαν τὸν ἄνδρα κατακλιθῆναι, ἡ γυνὴ, ἑκατέρου τοῖν ποδοῖν ἁπτομένη, εἰς ταυτὸν ὁμοῦ συνῆγε, καὶ δεσμοῖς

Θαῦμα να'.

μοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μοῖς τισιν ἔσφιγγεν, ἄνωθεν, ὥσπερ βρέφος κειρίαις, διαλαμβάνουσα τοῦ κοινοῦ φαρμάκου, τοῦ καθαροῦ δηλονότι βορβόρου μόνον, προσεπιβάλλουσα τῇ πληγῇ, καὶ τῷ χάσματι, οὕτω δὲ πράττουσα, καὶ πίστεως δάκρυσι τὸν πηλὸν ἀναφύρουσα, συνδεῖ πρῶτον μὲν, τὸ διαρρυὲν ὀστοῦν ἐκεῖνο τὸ ἱερὸν, εἶτα νεῦρα, καὶ σάρκες, καὶ μύες ἀνέβαινον κατὰ τὸ ἐν τῷ Ἰεζεκιὴλ εἰρημένον. πρὸς δὲ καὶ τὸν ἦτρον ἀρτιωθεὶς, καὶ ἀπαθὴς κακῶν ἁπάντων ὡς τάχιστα γεγονὼς, οἴκαδε ἵετο, τῶν μελῶν ἐκείνῳ πρὸς τὸ τέλειον διαγενομένων.

Θαῦμα ιβʹ. Τὸ δὲ κατὰ τὸν λωβὸν, πῶς ἄντις ἀνάσχοιτο σιωπᾶν. οὗτος τ' ἄλλα μὲν ἦν ἀνὴρ ἀγαθὸς, πενίᾳ δὲ βαθείᾳ συνεζηκώς. πρὸς τῇ πενίᾳ, καὶ κακῶν ἔσχατον, ἱερᾷ περιπίπτει νόσῳ, ἣ δὲ τοῦ μὲν προσώπου πρῶτα παντὸς ἐπελάβετο, καὶ πονηροῖς τοῖς ἕλκεσιν ἔβρυεν. ἐπέσκηπτε δὲ καὶ ἀκρωτηρίοις ἤδη, καὶ ταῖς ἁρμονίαις ἐν βραχεῖ προσεφύετο. κίνδυνος δὲ ἦν περιαιρεθῆναι τούτῳ τὰ μέλη, ἥλκωτο δὲ ἅπας, καὶ τῇ νόσῳ τὸ πλεῖστον ἀνάλωτο. ἀλλὰ παρὰ τὴν πηγὴν γεγονὼς, τῷ τε ἁγιάσματι διασμήχων τὰ ἕλκη, καὶ ἀνακαθαίρων, σβέννυσι μὲν ἐκεῖνα χρόνῳ πολλῷ, καὶ τὴν πονηρὰν ἐπέχει τῆς ἀηδίας πηγήν. μιᾷ δ' ἐξιὼν, καὶ ἠρέμα παρὰ τὴν ἔκροιαν τοῦ ἁγιάσματος γεγονὼς, ἱκανῷ δὲ διαστήματι διέχει αὕτη δὴ τοῦ νεὼ, περιδύεται τὰ ἱμάτια. ἀνηρέθιζε γὰρ αὐτὸν ἡ ἔφεσις λούσασθαι, ὁμοῦ μὲν ἀναψύξαι τὸ σῶμα διανοούμενος, οὐμὴν ἱκανήν γε εἶναι ἐκ νόσου πρὸς ὑγιείας μεταβολὴν, καὶ τὴν ἐκροὴν ὑπολογιζόμενος· ὁ μὲν οὖν ἐλούετο, ὑσσώπῳ τινὶ καὶ καθαρτηρίῳ ἄλλως, τῷ ἐκεῖθεν πηλῷ, καὶ ταῖς παραφυομέναις τῶν βοτανῶν, πρὸς ἀνατριβὴν χρώμενος, οὕτω δ' ἐπὶ πλεῖστον διαπραξάμενος, οὐ πηλῷ καθαίρει μόνον τὸ τῆς παροιμίας πηλὸν τὸ παράδοξον, ἀλλὰ καὶ τὴν λώβην ἅπασαν ὥσπέρ τινα λεβηρίδα τῷ ὕδατι ἐπαφίησι, καὶ ὑγιὴς ἀνατρέχει,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χει, ὑπερφυῶς τρυγήσας τὴν θεραπείαν, μικρȣ̃ διαπιστῶν
ἑαυτῷ, εἴτι μέτεστιν ἐκείνῳ, τȣ̃ εἰς τὴν ἔκροιαν κατιόντος.
ȣ̋τως ὑπερβαῖνον τὸ θαῦμα, ϗ φύσιν ἅπασαν ἐν δευτέρῳ
τιθέν. λέγεται μέντοι ὡς πολλῷ τῷ μέσῳ χρόνῳ πάλιν
ἐξανθεῖν πειρωμένων τῶν οἰδημάτων, παρὰ τῷ τόπῳ γε-
νόμενον, ϗ λȣσάμενον τῷ ὑγρῷ, τὴν νόσον αὖθις ἀναξη-
ράναι, τȣ̃το δὴ τὸ καινότατον. Νίκαια πόλις τῆς Βι- Θαῦμα νγ'.
θυνίας ἐστὶ, τοσȣ̃τον κάλλει, ϗ μεγέθει, ὄγκωτε κτισμά-
των, ϗ οἰκοδομημάτων διαπρεπὴς, ϗ πολὺ προβεβλη-
μένων τὸ θάρρος, ὡς νικᾶν ἐξεῖναι τȣ́τοις πᾶσαν αἶαν,
ἀλλὰ δὴ καὶ τοῖς παρ' ἑαυτῆς ἄλλοις, ὅσα ὡρῶν εἰσὶ δῶ-
ρα, ϗ οἷόν τι γῆς ἁπάσης ὡς εἰπεῖν ἀκροθίνιον· λίμνη δέ
τις αὐτὴν ὑπερφυὴς ἐπιτρέχει, ἀσκανία ταύτῃ τὸ ὄνομα·
ἥτις δὴ ὥσπερ ἐπαγαλλομένη τῇ πόλει, σύρεται μὲν ἐκ
μακρȣ̃ πλατεῖ καὶ ἡσύχῳ, ἔστι δ' ὅτε καὶ ῥαγδαίῳ τῷ
ῥεύματι, παραψαύȣσα δὲ τῶν τειχῶν, ϗ ὥσπερ ἀσπαζο-
μένη ταύτην, πάλιν εἰς τȣ̓πίσω ἀναβάδην χωρεῖ, ὡσανεὶ
ἐνδεικνυμένη τὸ φίλτρον καὶ ἐναβρυνομένη, ὅτι αὐτῆς ἐστί.
περὶ δὲ τὰς ὄχθας ἑκατέρας τῆς λίμνης, παμπληθεῖς
προσοικȣ̃σι κῶμαι. γῆ πρὸς πᾶσαν ἀρετὴν ἐῤῥωμένη, ἀ-
γαθὴ μὲν πρὸ παντὸς ἀρῶσαι, οἴνῳ δὲ, ϗ ἐλαίῳ τȣ̀ς πε-
ριοίκȣς, εὐφρᾶναι τε καὶ διαλιπῆναι πρὸς τοῖς ἄλλοις χρη-
στοῖς, ἀρίστη. μία δὴ τούτων, ϗ ἡ ȣ̋τω πως λεγομένη
κατοικία γνωρίζεται· ἐκ ταύτης τοίνυν τῆς κώμης, γυνή-
τις παιδίῳ ἄῤῥενι συζῶσα ἑνὶ, ϗ τȣ́τȣ διαζυγῆναι ἠνάγ-
κασο, πάθȣς ἐξαπίνης τῷ ἀστραγάλῳ τȣ̃ παιδὸς κατασκή-
ψαντος, ἄνθρακα τὸ πάθος ἰατρῶν φασι παῖδες· ἔπασχεν
οὖν ὁ παῖς ὡς ἐξ ἕδρας εἶναι συμβαίνειν τὸν πόδα· τὸ δὲ
φλέγον ἄχρι καὶ εἰς μηρὸν ἀνίη, ϗ πρόσω ἤδη χωρεῖν κα-
τηπείγετο, ταῖς ὀδύναις ἐκβιαζόμενον· ἀλλ' ȣ̓δέν τι ἧτ-
τον καὶ ἡ μήτηρ τὰ σπλάγχνα ἐκπυρȣμένη ἐφλέγετο.

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τί γὰρ εἰ μήτηρ ἦν, ϗ ἐπὶ παιδὶ μόνῳ τὸν βίον σα-
λεύουσα· ὡς δὲ τέχναι πᾶσαι ϗ μαγγανεῖαι δεύτερα τοῦ
ἄνθρακος ἐξηλέγχοντο, τοῦτον λαβοῦσα πρόσεισι τῇ τῶν
ἰαμάτων πηγῇ· ταύτην γὰρ ᾤετο σὺν λόγῳ ἀντιστήσειν
τῷ ἄνθρακι· τὸν δὲ ἰδόντα λωφῆσαί τε τοῦ δεινοῦ αὐτίκα, ϗ
τὴν ὁρμὴν κατασβέσαι, τῇ ἐνούσῃ ῥώμῃ ϗ ἀντιπαθείᾳ τοῦ
ὕδατος, ϗ τοῦ σκοποῦ διήμαρτεν οὐδαμῶς. τὸ μὲν γὰρ ὕδωρ
περικλύζον, τὴν τοῦ ἄνθρακος ὁρμὴν ἀνεχαίτιζεν. ἡ δ' αὖ
ἐκεῖθεν ἰλὺς τὰ σεσηπότα διακαθαίρουσα, ἐξεφόρει, ϗ τὸ
χωρίον ἐλλεῖπον ἐπλήρου σαρκὶ νεαρᾷ. βραχυτάτου τοίνυν
χρόνου παραῤῥυέντος, τὸ πάθος ἐσβέσθη ταῖς τοῦ ὕδατος
συχναῖς ἐπικλύσεσι, μήτε τὴν ἁρμονίαν διασαλεῦσαν, ϗ
τὰ νεῦρα κατὰ χώραν μένειν ἐάσαν, διάπυρον δὲ τὸν αἶ-
νον, ϗ οἷον αἰθέριον ἀναπέμψαι παρασκευάσαν, τῇ ἀλη-
Θαῦμα θινῇ τοῦ ζῶντος λόγου πηγῇ. Πῶς δὲ δίκαιον τῷ λόγῳ,
νδ'. ϗ τὰ κατὰ τὸν λεπρὸν Θεόδωρον παριδεῖν, ϗ ταῦθ' οὕτως
ἱκανῶς τῆς Θεομήτορος εὐμενές τι, ϗ ἵλεων προσιδούσης
αὐτόν. οὗτος ὅθεν μέν, ϗ ὅστις τοῖς ἀκριβώσασιν ἄδηλον.
λέπρα δ' οὖν κατὰ προσώπου αὐτῷ ἐξανθήσασα, ἄμορφόν
τε ἐδείκνυ, ϗ τέρας οἷον ὁρώμενον, ἔνθεν ϗ πᾶν μὲν ἰα-
τρεῖον αὐτῷ βάσιμον, ἀλλὰ μηδὲν πλὴν λόγων ὀνάμενος,
ϗ οὗτος πρόσεισι τῇ τῶν ἰαμάτων πηγῇ. ϗ ἐπεὶ τὸ πά-
θος ἀκμάζον μᾶλλον καθεωρᾶτο, ὅσον δὲ ϗ λεῖπον τοῦ
ὑγιοῦς προσνεμόμενον, ὅρκῳ τὴν Θεομήτορα κατελάμβα-
νε, μή ποτε παρ' ὅλον αὐτῷ τὸ βιώσιμον κρέως οὑτινοσοῦν
παραγεύσασθαι, εἰ τὴν λέπραν μόνον ἀπανθήσασαν τῆς
σαρκὸς διαγνοίη, εἶπε, ϗ ὕδατι τῷ ἐκ τῆς πηγῆς τὴν
σάρκα καθίστα διάβροχον, ϗ μετ' ὀλίγον ἐξίτηλος μὲν ἡ
λέπρα γίνεται, μικρὸν δ' ὕστερον καὶ παντάπασιν ἀπανθεῖ,
μηδέν τι λείψανον τῷ προσώπῳ ἐπαφιεῖσα. ὁ δὲ Θεόδω-
ρος μετὰ τὴν ὑγίειαν, οὐκ οἶδα, εἴτ' ἀγνοήσας, ἢ καὶ ἄλ-
λως

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λως ἐν παροράσει τὰ τῶν ὅρκων οὐ καλῶς διαθέμενος, τοῦ κρέως ἅπτεται πάλιν. ἡ δὲ νεκρὰ τέως, ϗ αὖθις ἀναζῇ νόσος, ϗ τὴν σάρκα σύμπασαν διατρέχει, ϗ τὰ ἔσχατα, χείρονα τῶν πρώτων ἐγγίνεται, ϗ οὕτως ἂν ἐς τέλος διέμεινε, σμικρᾶς ἡδονῆς τὴν νόσον ἀνταλλαξάμενος, καὶ τοῦ ψεύδους ἀπολαύσας τῷ τοὺς ὅρκους παρ᾽ οὐδὲν θέσθαι τὴν διὰ βίου αἰσχύνην, ὅτι λεπρὸς, ϗ ὅτι ἑκὼν εἰς τὴν νόσον παραπεσὼν, εἰ μὴ πάλιν τοὺς ὅρκους ἐμπεδωσάμενος, τὴν λέπραν ὡς χρεὼν ἀπεξύσατο. τούτῳ δὴ προσθήσω καὶ ἕτερον, ὡς ἄνγε εἴη, μὴ ἐκ τοῦ προχείρου τοῖς πλείστοις συγχέειν αἱρεῖσθαι τοὺς ὅρκους, μηδὲ νωχελῶς αὐτῶν πρὸς ἄνυσιν διακεῖσθαι, ἀλλὰ στέργειν ὅτι μάλα, τῷ φθῆναι ὑπεσχημένον πειρᾶσθαι, ἢ ἀπώμοτον εἶναι παντάπασιν. οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων συμφοραῖς, ϗ νόσοις, ἔστι δ᾽ ὅτε, ϗ σκληροῖς ἐξεταζόμενοι κλύδωσιν, ἀφίστασθαι μὲν τῶν φαύλων ἕκαστος κατατίθενται, ϗ ὅρκοις ἐμπεδοῦσι τὰς ὑποσχέσεις, θεὸν καὶ τὴν συνείδησιν ἔχοντες μάρτυρα. τῶν γεμὴν πιεζόντων, ἀμηγέπῃ διαλυθέντων, ὥσπερ ἐπιλελησμένοι τῶν συνθηκῶν, ἐπὶ τὰ συνήθη ϗ πάλιν χωροῦσι, τὴν φύσιν πρόφασιν εὐπρόσωπον ἔχοντες, κἂν τῷ μέλλοντι τῶν αἰσχρῶν ἀφεστάναι, εἰ θεοῦ τύχοιεν ἵλεω, πάντως διασκοπούμενοι. ἀλλὰ τὸ θεῖον οὐκ οὖν ὡς ἐπίπαν ἀπατᾶσθαι φιλεῖ· οὓς μὲν γὰρ ἐκεῖσε δὴ ταμιεύεται, πολλοῖς δὴ ϗ κατὰ πόδας τὴν δίκην ἐπάγει· τοιοῦτον δή τι διήγημα τῷ λόγῳ νῦν ἔσται, ἢ πεῖσον ἥκιστα χρῆσθαι τοῖς ὅρκοις, ἢ τοῖς φθάσασι πέρας αἴσιον ἐπάγειν βιάζεσθαι, ἔχει δὲ οὕτω. Γύναιόν τι τῶν ἐκμαστρωπείου λελαγνευμένον, εὐφυὲς τὴν ὄψιν, ϗ τὰ μάλιστα διωμιλημένον, ἀπὸ πείρας τε ἰταμὸν, ἐπ᾽ ἐργαστηρίου τὰ τῆς ἀκολασίας διεχειρίζετο, ἀποδιδομένη τὴν ὥραν, τοῖς ἀκολασταίνειν ᾑρημένοις ἀνδράσι, ϗ τοῖς ὅθεν δή ποτε ἥκουσι συνδυαζομένη. Θαῦμα νέ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐς τοσοῦτον δὲ τὸ σῶφρον ταύτῃ δεδουλαγώγητο, ὡς ἑταιρίας ἤδη τῆς μισητῆς προεστάναι, ϗ ἱκανήν γε εἶναι ἀντικαθιστᾶν ἑτέρας τῷ ἔργῳ τοῖς βουλομένοις, ϗ παιδοτριβεῖν τὰς ἐν ἡλικίᾳ, ἔνθεν αὕτη τῆς ἀκολασίας τῷ ὑπερβάλλοντι τὰ ὑπογάστρια πλήττεται, ϗ οὐδεμία ἦν ἐκείνῃ τῆς νόσου φροντίς, ὅτι γε τῶν συνήθων, ϗ φίλων ταύτῃ ἔργων ἀπείχετο· οὕτω δ᾽ ἔχουσα πονήρως τῶν παιδικῶν, ὀγκοῦται κατ᾽ ὀλίγον τὴν μήτραν, ϗ τὴν κοιλίαν διαφυσᾶται, ἠρέμα δὲ καὶ σύμπασαν τὴν πλάσιν ἐξῳδηκυῖαν ἦν μετὰ βραχὺ καθορᾶν, ὑδέρῳ δὲ ἄρα τὸ πάθος προσεοικὸς ἦν. τούτοις δὲ τὸ γύναιον αἰφνηδὸν ἐμπεσὸν, ἤσχαλλεν, ἠνιᾶτο, ϗ τοῦ κακοῦ τὴν λύσιν ἐπραγματεύετο. ἀμέλει, διεγνωκός ποτε, ὡς τῆς ἀσελγείας ἔλεγχος ταῦτα, ϗ τῶν πρώην φαύλων ἡδονῶν ἀποτέλεσμα, βουλὴν βουλεύεται συνετὴν, εἰμὴ τὰς συνθήκας διαφθείρειν εἶχεν ἐς ὕστερον· πρὸς γὰρ τὴν ἁγνὴν, ϗ ἄμωμον καταφεύγει παρθένον, ϗ παρὰ τὴν κρήνην δὴ τῆς πηγῆς γενομένη, ὅρκοις κατησφαλίζετο, μὴ ἄν ποτε τὴν ἐν μαστρωπείῳ ἀσπάσασθαι δίαιταν, εἰ τὸν ὄγκον ἀποβαλεῖν αὐτῇ ποτε γένοιτο, μὴ δ᾽ ἐς αὖθις δουλαγωγεῖν ἐλέσθαι τὸ σῶφρον, ἀλλὰ τῇ περὶ θεὸν ἀσχολίᾳ, ϗ τὰ πρώην, ὡς ἐνόν γε, διακαθᾶραι· ἔμεινεν οὖν τῷ νεῷ παρεδρεύουσα, κυλίνδρῳ παμμεγέθει προσεοικυῖα, ἡ γεμὴν χάρις ἔτι, ϗ τὸ τῆς ὥρας ἱταμὸν ταῖς ὄψεσιν ἐπεκάθητο. ταύτην δὴ καὶ αὐτὸς κατεῖδον πολλάκις παρὰ τὴν Θεοτόκον ἰὼν, ὑπερπληθές τι τέρας παρὰ τῷ νάρθηκι κατακείμενον, ϗ πρὸς λόγους ἦλθον, ϗ τὸ πάθος ἐξ αὐτῆς δῆτ᾽ ἀνέγνων διηγουμένης· ἔλεγε δέ μοι καὶ διετείνετο, ὡς ἡ ζώνη ταύτῃ τοῦ συνήθους ἐκτὸς, ἐς ὀργυιάν που μάλιστα μίαν, ϗ μικρόν τι πρὸς, παρεκτέτατο· ἐς τοσοῦτον ὑπερβολῆς ὁ ὄγκος ἐκείνῃ ἐπῇρτο, οὔπω δὲ τριπλῆς δεκάδος ἡμερῶν ταύτῃ ἀνυομένης τῷ

χώ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χώρῳ, ἀεὶ τοῦ ἁγιάσματος ἀπογευομένη, μιᾷ πρὸς ὄρθρον, γυνήτις σκύφον νάματος πλῆρες ταῖν χεροῖν ἐπηρμένη, ἐδόκει ταύτῃ ὀξέως ἐφίςαθαι· ἐνῆπται δὲ αὐτῇ καὶ κρηπὶς τοῖν ποδοῖν ἑκατέρῳ, καὶ ταύτην διαῤῥαντίσασα, καὶ κατὰ τοῦ ςόματος αὐτῆς ἐπιχέουσα, ᾤχετο αὖθις. ἡ δ' εὐθὺς διαθροηθεῖσα, τὸν ὕπνον ἀπετινάσσετο. ἑώρα δ' ἐκείνην εὐςαλῶς ὑποτρέχουσαν, καὶ τὰς κρηπῖδας ἠρέμα τῷ φεύγειν δῆθεν διατυποῦσαν, καὶ μετ' ὀλίγον τῆς γαςρὸς αὐτὴν νυξάσης, ἐκφέρεται. ὑγροῦ δέ τις ἄπειρος σύῤῥοια κατέῤῥει τῶν εἰωθότων μελῶν, καὶ ἀέρος δεινόν τι χρῆμα ἐκφυσωμένου. ὁ μὲν οὖν ὄγκος ἐλώφα τοῦ ὑγροῦ θλιβομένου. ἡ δὲ ζώνη, ἐς ἥμισυ ὀργειᾶς αὐτῇ συνεςάλη, εἶθ' ἡμέρας, καὶ πάλιν νυκτὸς, τὰ ὅμοια διεπράττετο, καὶ τί δεῖ τὰ πολλὰ λέγειν, ἐς τοσοῦτον ὁ ὄγκος ταπεινός τε ἦν, καὶ ἐφ' ἡμέραις εἴσω συννεύων, ὡς μὴ ἂν ἐλέσθαι τινὰ πιςεύειν ἰδόντα, ταύτην εἶναι τὴν πάσχουσαν, ὃ δὴ καὶ αὐτὸς ἐπεπόνθειν, ἐφ' ὁδοῦ παριοῦσαν ἰδὼν, ὑπὸ κατεςαλμένῳ καὶ σωφρονοῦντι βαδίσματι. οὕτω παρὰ δόξαν ἡ πάναγνος τοσοῦτον τεράςιον ἄριςα, καὶ τελεώτατα διεπράξατο. ἀλλὰ τὸ ἑξῆς σκοπεῖτε τοῦ διηγήματος· ἔχει γάρ τι καὶ ἕτερον, πολλῷ τοῦ προτέρου παραδοξότερον· ὡς γὰρ παντελοῦς ὑγιείας ἡ Ἄννα ἀπήλαυσεν· οὕτω γὰρ τὸ γύναιον κατωνόμαςο, κρεμαςὴ δὲ ἦν αὐτῇ τὸ ἐπώνυμον, χρόνος λίαν ἐπίβραχυς ἐμέτρει ταύτῃ ἐῤῥωμένας τὰς τῶν ὅρκων συνθήκας. συμβαίνει γάρ πως δυςχερὲς παντάπασιν εἶναι, χρόνῳ βεβαιωθὲν πάθος, καὶ μονιμώτερον ἐπιβρίσαν ῥαδίως ἀναχωρῆσαι, τῆς μνείας ἀεὶ τὴν ἕξιν ὑποθελγούσης πρὸς τὰ συνήθη, ἄλλως τε καὶ ὅρκον διενεγκεῖν ἐντελῆ, ἐκδαπανηθέντων χρόνων τῶν βιασαμένων πρὸς ταῦτα, οὐκ ἐν ἅπασιν εὐπετές· ἀμέλει κἀκείνη παρ' οὐδὲν ἐνομίζετο, ὅθεν καὶ κύων ἦν, ἐπὶ τὸν ἴδιον ἔμετον ἀναςρέφουσα, ἐρ-

γῶντε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γωντε ἥπτετο τῶν συνήθων, τὰ τῶν συνθηκῶν ἐν δευτέρῳ δῆτα θεμένη. πάλιν τοίνυν περιγραφαὶ, καὶ ἐπίβουλα χρώματα, ἐπαγωγόν τε μειδίαμα, καὶ παρεπιστροφαὶ συνεχεῖς, καὶ λίχνον ὄμμα παρακλέπτον τὸ νόθον κάλλος, καὶ εὔωνον, καὶ νεανίσκων ἐσμὸς περὶ ταύτην, τὴν ἀλλοτρίαν ὥραν ἀποτρυγῶντες, καὶ τὴν αἰσχίστην μισητίαν διαπραττόμενοι. λόγοι δὲ ἄλλως αἱ συνθῆκαι ἦσαν, καὶ ἡ τῶν ὅρκων ἀσφάλεια τέθνηκε. ἵνα δὲ μὴ τὸν ἔλεγχον ἐκ τοῦ σχεδὸν ἔχῃ τὸν τῆς Θεομήτορος δηλαδὴ οἶκον, τὴν Κωνσταντίνου λιποῦσα ἔξεισι, καὶ περίπου τὴν βιζύην γεγενημένη, τῆς συνήθους, καὶ φίλης εἴχετο ἑταιρίας. χρόνου δὲ τῷ μεταξὺ τριβομένου συχνοῦ, ὡς ἂν οἶμαι τῶν φαύλων ἀποσχομένη, καὶ τῆς δουλοπρεποῦς ἁμαρτίας τῶν ὅρκων γένηται, ἐπεὶ μὴ τοῦτο καθεωρᾶτο διαπραττομένη, πάλιν ἐπίσης τὴν γαστέρα διαφυσᾶται, καὶ εἰς μείζονα τὸν ὄγκον ἐπαίρεται, καὶ οὕτως ἱκανῶς τῇ σφετέρᾳ μάστιγι αἰσχρῶς ἐμπομπεύουσα, διαῤῥήγνυται, πολλῷ δ᾽ εἰπεῖν οἰκειότερον, ὅτι καὶ τὴν αἰσχρὰν ψυχὴν ἀποῤῥήγνυσιν, αὐτὴ ἐφ᾽ ἑαυτῆς τὸ τοσοῦτον δεινὸν ἐπιστήσασα, τῷ τῶν ὅρκων ἀμελῆσαι, καὶ τὸ θεῖον οὕτως ἀργὸν πρὸς δικαίαν εἶναι κόλασιν ἐκλογίσασθαι. καὶ τοῦτο δ᾽ ἴσως προσθεῖναι, τῶν ἀναγκαίων, συγγενὲς τοῖς προλαβοῦσιν ὑπάρχον, καὶ χάριεν· ἔχει δὲ μετὰ τοῦ χαρίεν εἶναι, καὶ ἀπαλλαγὴν ταχυτέραν.

Θαῦμα νϛ'. Ἀνὴρ γάρ τις τῆς Κωνσταντίνου ὁρμώμενος, σμικρὰ δ᾽ ἄλλως πράττων, καὶ ἀδρανεῖς ἐντεῦθεν τὰς τοῦ βίου ἀφορμὰς ποριζόμενος, ὑέλωπι πάθει περιπεσὼν, ἤσχαλλε μὲν τὰς ὀδύνας οὐχ οἷός τε ὢν φέρειν, πολλῷ γε μὴν ἠνιᾶτο, ὅτι μὴ τὰς ὄψεις ὑπουργούσας εἶχε τοῖς ἔργοις. ὑγρὸν γάρ τι ἐκ παχυτέρας ὕλης, τῶν κάτω ἀνατμιωθὲν, καὶ περὶ τὴν κεφαλὴν στηριχθὲν, ἔμεινε ταῖς ἀναθυμιάσεσι παχυνόμενον, καὶ δριμύτητος οὐκ ἐλαχίστου πρασ-

λαμ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λαμβάνον, εἶτ' ἀποῤῥεῦσαν ἐκεῖθεν, τοῖς κανθοῖς τῶν ὀφθαλμῶν ἐπισκήπτει· ἐπίχυσιν δὲ οἷα εἰκὸς προσλαμβάνον, ἐπιτρέχει τὴν κόρην, καὶ ταύτην ἀφαιρεῖται τῆς ὄψεως, μὴ ἐῶν τὸ ἀποῤῥέον ταύτης φῶς ἐξιέναι· ἐκεῖνο γὰρ ὑμένος δίκην τὴν κόρην ἐπιδραμὸν, ὥσπερ τι νέφος παχύτερον, καὶ σαρκῶδες, ἐπιπροσθεῖ, μὴ τὸν ἥλιον τῆς ὄψεως ἀποπάλλειν τὰς ἀκτῖνας παρασκευάζον. εἶχε μὲν οὕτω ταῦτα, καὶ σκότους βαθέος ἄκων ἦν ἀπολαύων, ἐν πολλῷ τῷ φωτὶ, ἀνεωγότων τούτῳ τῶν ὀφθαλμῶν. τὸ γεμὴν δριμὺ τῆς ὀδύνης, καὶ δάκρυον ἀπέβλυζε πονηρὸν, λήμης ὅσης τὸ περιλειπόμενον τῶν ὄψεων ἐμπιπλῶν. ἐπεὶ δὲ παισὶν ἰατρῶν ἀπηγόρευτο, ἐς τοσοῦτον γὰρ ἐκείνοις ἐπαγγελία φωτός, ἕως οὗ καὶ χρυσίῳ τὴν τοῦ πένητος χεῖρα καταλαμπομένην ἑώρων· ὡς δ' οὐκ ἦν ὀσφραίνεσθαι τῆς ὀσμῆς τοῦ χρυσίου, καὶ ῥοῖζος οὔτις περιήχει τούτων τὰ ὦτα, τῶν ἐνγῇ φαρμάκων πάντων τὸ δραστικώτατον, τῶν ἐλπίδων παντάπασιν ἀποσχόμενοι, τὴν τῆς δαπάνης ἔνδειαν ἐν αἰτίαις θέμενοι, ᾤχοντο, ὑπὲρ τέχνην εἶναι τὸ πρᾶγμα διατεινόμενοι. ἀλγυνόμενον δὲ τὸν ἄνθρωπον ἰσχυρῶς κατιδών τις ἀνέπειθεν, ἀπολιπόντα τέχνην ἅπασαν, παρὰ τὴν ἁπλῆν καὶ ἄμισθον ἰατρείαν γενέσθαι. ἡδὲ ἦν, ὕδωρ τὸ ἐκ πηγῆς. ὁ δ' ἄσμενος τὴν εἰσήγησιν δέχεται, καὶ ὑπὸ χειραγωγῷ τινι, καὶ σκίμπωνι ἐναπερειδόμενος, τῆς Κωνσταντίνου, καὶ πάντα θέμενος ἐνδευτέρῳ, ἔξεισιν, αὐτίκα τῷ ψαῦσαι ἀδιστάκτως τοῦ ὕδατος, οἰόμενος καὶ τὸ τὴν ὄψιν λυποῦν ἀποξέσασθαι, καὶ οἷ ποδῶν εἶχε, τὴν πορείαν κατέτεινε. γεγονότι δ' ἔνθα τὸν νεὼν τῆς Θεομήτορος διαγινώσκειν δυνατὰ ἐστι τῷ παντί, τηνικαῦτα τοῦτον ὑπ' ὄψιν διέγραφεν, εἶτα καὶ λαμπρότερον καθεώρα, καὶ ἕως οὗ πλησιάσειε, σύμπαντα καθαρῶς ἑώρα τὸν χῶρον, ἐπιεικῶς τε τὸν νεὼν ἀνεμέτρει, καὶ βλέπων ἦν ἀτεχνῶς. ἐπεὶ δὲ καὶ

τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ ὕδατος ἀποῤῥοφήσειε, ϗ νίψαιτο, ἀπλανῶς ἑώρα, ϗ ἀδιάψευστον εἶχε τὴν ὄψιν, τοῦ πιέζοντος ἰσχυρῶς, ἀλλὰ δὴ καὶ τοῦ παχυτέρου ὑμένος, τῷ ὕδατι διαῤῥεύσαντος, ϗ τόσον τὸ ἐπισταῖνον ἐκεῖνο πάθος ἐπεχωρίασε, καθόσον καὶ τὸ τῆς ὁδοῦ συνετελέσθη διάστημα. οὕτω πίστεως ἀκραιφνοῦς δεῖ τῷ αἰτοῦντι, μηδενὸς ἀμφιβόλου τὴν διάνοιαν ὑποτρέχοντος. τυφλὸς γοῦν οἴκοθεν ἀπάρας, ϗ τὸν χρόνιον σκότον τῷ ὕδατι ἐπαφείς. φαιδρὸν ὁρῶν, ϗ τοῦ πρώην φωτὸς διαυγέστερον, οἴκαδε γίνεται, φωναῖς μεγάλαις τὴν τοῦ

Κάθ. Δ. Θαῦμα νζ'. φωτὸς μητέρα, λαμπρῶς εὐφημῶν. Ἕλκει δὴ τὸν λόγον πρὸς αἶνον τῆς Θεομήτορος, ϗ Ἰωάννης ὁ βάραγγος, Ῥοδέλφος τούτῳ ἐπώνυμον. ἴστε πάντες ϗ διηγεῖσθε τὰ ἐπ' αὐτῷ πεπραγμένα τῇ Θεομήτορι· οὐδ' εἰπεῖν γὰρ ἔδει τὰ κατ' αὐτὸν, πάντων τὰ ὦτα διαλαβόντα τῷ τοῦ τερασίου ὑπερφυεῖ, ἀλλ' ἵνα μὴ καὶ τοῖς ἐπιγενομένοις ὁ χρόνος οὐκ ἐλαχίστη κατασταίη ζημία, εἰωθὼς ἀεὶ σιωπᾷν, ϗ κρυφαῖα καθιστάνειν τὰ πράγματα, ϗ τοῦτο τοῖς εἰρημένοις προσθήσομεν· οὗτος τῷ ἐμῷ βασιλεῖ κατὰ τὴν ἕω ἑτεροστόμῳ πελέκει κατ' ὤμων ἐστηριγμένῳ ὑπηρετούμενος, νόσοις διαφόροις τεταλαιπωρηκὼς, μεγίστων παρὰ τῆς ἁγνῆς ἠξιώθη τῶν ἐπισκέψεων. πάρεσιν γὰρ μελῶν, ϗ ῥύσιν ἄπληστον αἵματος, ϗ κατὰ τοῦ στήθους ἕλκος ἰᾶται, διαφόρως ὀπτανομένη. ὃ δ' οὖν ἐνταῦθα παράδοξον διεπράχθη τῇ Θεομήτορι, τοῦτο καὶ εἰπεῖν δίκαιον, ϗ σιωπῆσαι παντελῶς ἄγνωμον καὶ ἀχάριστον. τούτῳ δὴ τῷ Ῥοδέλφῳ ἄρτι τὴν παρειὰν ἐπὶ ἁπαλῇ καὶ ὑπήνῃ πρώτῃ χνοάζοντι, ϗ τὸν ἴουλον ἐπ' αὐτῆς ἐπιῤῥέοντι, πάθος ὕδρωψ ἐγγίνεται· ὕδωρ γάρ ποτε πιόντι ψυχρὸν, ἔδοξε τὴν ὁλομέλειαν αὐτοῦ διελθεῖν. ἐς τοσοῦτον δ' ἐξικέσθαι θᾶττον, ὡς ἀκαρῇ φθάσαι καὶ αὐτὸν τὸν πρῶτον δάκτυλον τοῦ ποδός. τὸ δὲ κατ' ὀλίγον ηὔξανε, ϗ τοῦ ὄγκου τῷ ταρσῷ μετεδίδου,

εἶτα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἶτα καὶ ἐς κνήμας δὴ τὸ δεινὸν ἐπεχώρει, ϗ τὴν κοιλίαν ἐζώννυε, κατά τε τοῦ στήθους προσβάλλον, τὴν τοῦ σώματος ἀκρόριαν διελάμβανε. δίψα δέ τις ὑπερφυὴς τοῦτον ἐπὶ μᾶλλον ἀνέφλεγε. χανδὸν γὰρ τοῦ ὕδατος ἐμφορούμενος, οὐ κατακορὴς αὐτοῦ ποτε ἐγνωρίζετο. παρὰ τοσοῦτον δὲ συνέβαινε τοῦ πίνειν εἶναι τὸ διαλεῖπον, παρ' ὅσον ἦν κατὰ τοῦ στόματος ἐγχέαι τε καὶ ἀρύσασθαι. οὕτω δ' ἔχων ϗ τῇ Κωνσταντίνου γενόμενος, τῇ μητρὶ πρὸς χεῖρας ἰὼν, ἐπιμελείας ἠξίωτο, ἰατροὶ πρὸς τούτῳ συνέρρεον, ϗ φιλοσοφεῖν μὲν εἶχον περὶ τῆς νόσου, οὐδὲν δὲ οἷον καὶ πρὸς ὄνησιν ἐκτελέσαι. ὡς δ' ἐκείνῳ πίνοντι τὸ ὑγρὸν, ϗ ὅσον περιουσίας ἦν ἄριστα τοῖς ἰατροῖς προεπίνετο, ϗ ἤδη πρὸς ἀνάρρουν τῷ ἀπρακτεῖν ἐχώρουν. ἕτερος, σύρος μὲν τὸ γένος, κόμπος δὲ ἄλλως καὶ ἔπαρσις ἄντικρυς παριὼν, ἐκείνῳ γε τὰ πρὸς τὴν νόσον, δυνατὰ εἶναι ἔφασκεν, εἰ τῶν ἄλλων ἐν δευτέρῳ θεῖτο τὴν γνῶσιν. εἴκει δὴ τοῖς ῥήμασιν ὁ νοσῶν. τοιοῦτον γάρ τι χρῆμα ὁ ἄρρωστος, ἀεὶ μεταπηδᾷν εἰωθὸς, ϗ πρὸς τὸ τὴν ὑγείαν ἰσχυρῶς ἐγγυώμενον, ὡς τάχιστα μεταρρέπον, καὶ ταῦτ' εἰ χρόνῳ πολλῷ ἄχθοιτο, ϗ τὰ τῶν πρώτων δεύτερα τῶν ἐλπίδων ἐκείνῳ γένοιτο. πόμα τοίνυν ἐντεῦθεν διασκευάζεται, τὸ δὲ ἄρα διπλοῦν ἦν τὸν θάνατον τῷ ἀνδρὶ ἐνεργοῦν. οὔτε γάρ τι πρὸς τὴν νόσον ἦν ἀποχρῶν, ϗ ἄλλως ἐπῳδαῖς τισὶ καὶ γοητείαις σύμμικτον ὂν, ψυχῆς διέβαινε πρὸς ἀπώλειαν· ὁ μὲν οὖν προσῆγε τὸ φάρμακον, ὁ δὲ νοσῶν κατεδέχετο, ϗ φάρμακον ἦν ἀτεχνῶς, δυοῖν θανάτοιν ἐν μεταιχμίῳ. αὐτίκα γὰρ κατὰ τοῦ στήθους χωρῆσαν, ϗ τὰ ἔνδον πάντα διαδραμὸν, ὅσα καὶ νεκρὸν διετίθη τὸν ἄνθρωπον, ἦν τε ἀπ' ἐλπίδος τοῖς παροῦσι καὶ θεωμένοις, ϗ τὰ πρὸς ταφὴν αὐτῷ διεσκεύαστο, ἀλλὰ περὶ μέσας νύκτας ἡ Θεομήτωρ τῷ Ἰωάννῃ ὀπτάνεται, τῶν μὴ δυνατῶν παντάπασι φάσ-

κουσα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κυσα εἶναι, ἐῤῥῶσθαι αὐτῷ τὸ σῶμα, εἰμὴ πρὸς οἶκον δὴ τὸν ἐμὸν διαβῆναι σε γένοι το. τῷ δ᾽ ἀγνοεῖν τὸν οἶκον ὁμολογοῦντι, καὶ ὅπου γῆς εἴη διαπυνθανομένῳ, ἡ ὄψις αὖθις ἐδήλου. τὸ τεῖχος δὴ τῆς πόλεως ἐξιὼν, παρὰ τὴν τάφρον διέρχου, καὶ αὐτίκα τὸ ἐμὸν ἀνάκτορον ὄψει, περιφανῶς ὡς μάλιστα διαπρέπον, καὶ τὴν ἄφιξιν αὖθις ἐπέσπευδεν. ὁδ᾽ εὐθὺς τοῦ ὕπνου ἀνίετο, καὶ τῇ μητρὶ τὴν ὄψιν ἀνήγγελλεν. ὡς δὲ τὴν πηγὴν τὸν οἶκον εἶναι πολλὰ καμόντες, μόλις διέγνων, ἀπτέρῳ τάχει παρὰ τὸ ὕδωρ μετακομίζονται. ἦν δὲ τὸν ὄγκον ὡς ἐμοὶ παρίςα ἐκδιηγούμενος, τὰ μὲν περὶ τὴν κοιλίαν, ἐμβριθής τις ἄγαν, καὶ ἀσυμμέτρως ἔχων τοῦ ὄγκου. ὅ, γεμὴν μηρὸς αὐτῷ ἐς πιθαμάς που μάλιςα πέντε διαμεμέτρητο. τῷ δὲ λιχανῷ κατὰ τοῦ μετώπου διωθουμένῳ, τὸ ἱκανὸν, ἐνέδει τῷ ὀςέῳ προσερειςθῆναι, ἐς τοσοῦτον ὑπερμεγέθης τίς ἦν, καὶ ὑπερφυὴς τῷ οἰδήματι. πρώτη νὺξ, καὶ ἡ ὄψις πάλιν ἐφίςαται, θαῤῥεῖν τε ἐγκελευομένη καὶ πιςεύειν ὡς ῥᾴων ἔςαι, μὴ ῥαθύμως ἔχων ἀναχωρεῖν, εἶτα ἐδόκει τὴν νόσον ἐκ τῶν ἄνωθεν ἀπελᾶν, καὶ ἀμφοτέραις πιέζουσαν ταῖς χερσὶν ἀποθλίβειν. καὶ τὸ μὲν ὄπισθεν τοῦ πάθους, συνελάσαι περὶ τὸν βουβῶνα εἰς ἕνα τὸν ὄγκον, καὶ περικλεῖσαι ἀθροίσασαν· θατέρα δὲ τῶν χειρῶν, περὶ τὸ ςῆθος, τὸ ἔμπροσθεν ἅπαν, ἐς ταυτὸ καθελκύσαι, εἶτα λέγειν ἐῴκει, ὡς τὸ μὲν ὄπισθεν, ἡ τοῦ ὑδρωπός ἐςι νόσος, τὸ δὲ κατὰ τοῦ ςήθους, εἶναι τὸ φάρμακον, ὃ δῆτα ὀςυρογενὴς ἐκεῖνος ἀσκληπιάδης ἐκέρασε, καὶ δαιμονικῆς τερατείας ἐπιμίξας οὐκ ἔλαττον, ἀλλ᾽ ἐγώ σοι, ἐπέφερε, καὶ ἀμφοτέρων ἔσομαι ἰατρὸς, ἁπλοῦν τι πόμα κερασαμένη. ςέργειν οὖν ἀνάγκη. ἀποχρήσει γάρ σοι ἡ καρτερία, πρὸς τὴν ζητουμένην τὴν εὕρεσιν. ἀλλὰ ῥάθυμόν πως ἡ ἀνθρωπία φύσις, καὶ τῶν κατὰ σκοπὸν πρὸς βραχὺ ἀςοχοῦσα διχονοεῖν ἀναγκάζεται, καὶ ἀρ-

γὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὸν τὸ θεῖον πρὸς τὴν χάριν καὶ τὸ τάχος καθίςησι. τριβομένε γὰρ τῦ χρόνε πρὸς βλασφημίας ἐτρέπετο. ἦν δὲ καὶ τ' ἄλλα μὲν ἀτεχνῶς τυραννῦντα καὶ ἐκπιέζοντα, τῶν γεμὴν αἰδοίων, πονήρως μάλα ἐχόντων, ἅτε ὑπεροιδούντων καὶ συμπιλεμένων ταῖς ὑπερβολαῖς τῶν ὄγκων ἑκατέρων μηρῶν, φέρειν ἥκιςα εἶχε τὸ ἀλγεινόν. ἀμέλει καὶ σωφρονεῖν πάλιν ἐποίει τέτω, ϗ ἀντιῤῥόπες τῶν γογγυσμῶν τὲς ὕμνες ἀναφέρειν τῇ τῦ λόγε μητρί. ὡς δὲ χρόνος ἐκείνῳ τῇ νόσῳ τρεῖς πρὸς τριάκοντα μῆνες ἠνύοντο. δύο δὲ τέτων τῷ τεμένει ἐπεμετρῦντο, νυκτὸς τοῖς ςρώμασιν ἐφυπνώττοντι, ἐδόκει κατιέναι πρὸς τὴν πηγήν, καί τινα τὴν ὄψιν διαπρεπῆ γυναῖκα ὁρᾷν ὑπὲρ κορυφῆς ἑςηκυῖαν τῦ ὕδατος, σκεῦος δέ τι ὀςράκε πεποιημένον, μετὰ χεῖρας ἑλομένην καὶ μικρὸν ὑποκατιῦσαν, ἐπιβάψαι τῷ ὕδατι, ὡς ὑπερχειλὲς αὐτὸ διεργάσασθαι, ϗ ἐριόντι τῶν ἐκβοτάνης, πρὸς ταῦτα δὴ ἐπιτήδειον, τῦ ἐκεῖθεν ὑγρῦ ἐμπιπλῶσαν, παρὰ τὸν χριςὸν ἐπιφέρειν, ϗ τὸ ὑγρὸν αὖθις τῷ ὀςράκῳ ἐναποθλίβειν, μικρὸν ὑποκινῦσαν, τὰς πύλας τῦ ςόματος, αἱ δὲ ἄρα ὑγρῦ ἐπήνθεν, ἠρέμα παρασαλεῦσαι, εἶτ' αὐτὸν διχνεύσασαν, χανδὸν κελεῦσαι διανοῖξαι τὸ ςόμα, ϗ ὁ μὲν διΐςα τὰ χείλη, ἡ δὲ τὸ ὕδωρ ἐκείνῳ ἐνέχει, ὡς δὲ τῦ πίνειν ἀπέσχετο, ῥανὶς γὰρ ἐδεμία τῷ σκεύει ἐκείνῳ γε ὑπελείπετο, ἀνασείλασα τὸ χιτώνιον τῦ ἀνδρὸς, τὰ περὶ τὴν κύςιν ψηλαφᾷν ἐῴκει. ἐδὲ ἀπηξίε δῆθεν, τῇ αἰδοῖ συςελλόμενος. ἡ δὲ νόσος ὑπεχώρει αὐτίκα μάλα, ῥαγδαίως τῆς κατὰ φύσιν ἐξόδε προῤῥέεσα, ὡς διάβροχα μὲν ἐκείνῳ κᾂν τοῖς ὕπνοις γίνεσθαι τὰ ἱμάτια, ἐδὲν δὴ ἧττον καὶ τὰ ςρώματα διελθεῖν, ϗ ὅπη παρείκοι παραῤῥεῖν ϗ διέρχεσθαι. ὁ δὲ μόλις ἀνανήψας, ϗ τὸν ὕπνον ἐκτιναξάμενος, πρῶτον μὲν διηπόρει. εἰ ὄναρ εἰσὶ τὰ πραττόμενα, ὡς δ' αἰσχύνης μὲν ἦσαν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτῷ τὰ ἱμάτια ἔμπλεω, καὶ ταῖς σφαῖς διαψηλαφῶν χλιαρᾶ εἶναι ὕδατος, ὑπενόει πλήρη τὰ ἔπιπλα, δίκην τε σωλῆνος ἀποῤῥέον ἀψοφητὶ τὸ ὑγρὸν τῆς αἰδοῦς, ἵνα μή τινι καὶ ἄλλῳ μεθ᾽ ἡμέρας γνωσθὲν ἐγκληθείη τὸ ἄκοσμον καὶ ἀτεχνῶς ἄσχημον, τὴν μητέρα πρὸς ἐκεῖσε παρακειμένην, θορύβου πλήρει φωνῇ διανίστησι, τήν τε ὄψιν ἀκριβῶς ἀπαγγέλλει, καὶ τὸ πραχθὲν ἐμφανίζει, καὶ τὸ μὲν δεινὸν, οὕτω νυκτὸς ὡραΐζε τῆς ὑπερβολῆς, ἡμέρας δ᾽ ἐπιλαβούσης, τὸν ὅμοιον διέκειτο τρόπον, καὶ οὕτως ἀπηλλάγη τῆς νόσου βραχυτάτῳ χρόνῳ, παντὸς τοῦ ὑγροῦ ἐκείνου ὄγκου ἐκκενωθέντος τῷ ὕδατι, καὶ νῦν εἰσέτι τὸ θαῦμα καὶ κήρυκος διαπρύσιον ἀπαγγέλλει, ζῶν καὶ ὁρώμενος. τοῦτο τὸ παράδοξον ὁ τοῖς θαυμασίοις πλέον τῆς Θεομήτορος ἢ τῇ ἀρχῇ ἐπιγαννύμενος εὐσεβέστατος βασιλεὺς διακούσας, ἀθροίζει μὲν τὸ ὑπήκοον ἅπαν, καὶ ὅσος δὴ κατάλογος ἱερὸς, ἀλλ᾽ οὐδὲ τῶν μοναχῶν αἱ ἀγέλαι ἀπῆσαν, καὶ ὁλονύκτιον τὸν αἶνον, τῇ τὴν φύσιν ἀεὶ νικώσῃ μητρὶ τοῦ Θεοῦ ἐκτελεῖ, τοιαῦτα παράδοξα τέρατα ἐκτελούσῃ, τοῦ ἰαθέντος πρότερον ἐπὶ μέσου τοῦ πλήθους ὡς εἶχεν ἅπαντα διαγγείλαντος. Ἀλλὰ καὶ τὸ κατὰ τὸν ἕτερον βάραγγον Μανουὴλ ἐνταῦθα ἀναγκαῖον ἡγοῦμαι προσθεῖναι. τοῦτο δέ μοι ὁ προῤῥηθεὶς Ἰωάννης ὁ βάραγγος διηγήσατο. χυμῷ γάρ τινι δριμυτέρῳ φύματά τινα ἐκείνῳ περὶ πρὸς τὸν μηρὸν ὑποτρέχουσι. τὰ δ᾽ ἦσαν ἄρα τὸν θάνατον ἐκ τοῦ σχεδὸν μνηστευόμενα· δάκνειν μὲν γὰρ τὸ πρῶτον ἀπήρχοντο, καὶ ὄνυχες καθυπούργουν δῆτα, τὸ ὑπερτρέχον δριμὺ καταξαίνοντες. πληροῦνται τοίνυν ἐκεῖνα θυμοῦ καὶ ἐκμαίνονται βιαιότερον, καὶ ἀνυπόστατον ἦν τὸ δεινόν. οὔτε γὰρ ἰατρῶν ἤρκει τέχνη τοῖς τραύμασι, καὶ τ᾽ ἄλλα πάντα πρὸς τὸ πάθος, ἐν δευτέρῳ ἐτάττοντο, ἔνθεν διάτρητον μὲν αὐτῷ τὸ περὶ τὴν ἕδραν ἅπαν ἐγγίνεται· ἐπεπελίδνωτο μὲν

Θαῦμα νη'.

γὰρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ πρῶτα ἡ σὰρξ, ϗ μελανίαι διαφανεῖς ἀνεφαίνοντο, σηπωμένων αὐτῷ τῶν μελῶν. ἐξήνθη ἦν πληγαῖς ὅτι πλήσαις μηρός τε ὅλος, ϗ τὰ περὶ τὴν ἕδραν ἀπηνῶς τῇ νόσῳ ἐβόσκοντο. ἐπεὶ οὖν τὰ ἐξ ἰατρῶν ἄπορα τῷ μεγέθει τῆ πάθης ἐκρίνετο, εὐπορίαν ἡ ἀπορία παρέχει. γίνεται γὰρ παρὰ τὸ κοινὸν καὶ ἄμαχον ἰατρεῖον, τὸ πρὸς πᾶσαν νόσον δεξιὸν ὕδωρ. ϗ τὸ μὲν λεῖπον τῶν σαρκῶν ὅσον ἡ νόσος κατέφαγε, (πολὺ δὲ ἦν καὶ ἰσχυρῶς ἄπιστον) ὁ πηλὸς ἐπλήρε τοῖς μότοις ἐπιπασσόμενος. τὴν δ' ἐκρέησαν τῶν πληγῶν ἀηδίαν, ϗ τὸ κακόηθες ἐκεῖνο ἕλκος ἀναξηραῖνον ἦν τὸ ὕδωρ ὡς μάλιστα, ϗ μήπω τῷ μηνὶ διαγεγονότι, φθάνει τὰς ὅλας τὸ νόσημα ἐργασάμενον, πρὸ καιρῦ τὸν ἄνθρωπον ἀπαλλάττον καὶ ἀπολύον τῆς ἀγωνίας. ἀμφοτέρων δὴ οὖν τετωνὶ τὰ τεράστια, ϗ χρώμασιν ἀνατυπῆται πρὸς τῷ νεῷ, ἵνα μὴ πολὺς ἄγαν ἐπιῤῥεύσας ὁ χρόνος, αὐτὰ διαφθείρειεν. ἵστανται γὰρ τήν τε νόσον, πολὺ δὲ πλέον φᾶναι τὴν εὐεργεσίαν τῆς Θεομήτορος ἐνδεικνύμενοι, ἐν ταυτῷ δὲ καὶ τὲς ἑτεροστόμους πελέκυς ἀνέχοντες, ἢ μᾶλλον τέτοις γαυρέμενοι, ἢ ταῖς τῆς Θεομήτορος ἐπισκέψεσι, καὶ τὸν ὕμνον, καὶ σιωπῇ ἀνακηρύττοντες. Θαῦμα νδʹ.

Χρῆναι δ' ἴσως ἥγημαι, ϗ τὸ κατὰ τὴν βασίλισσαν Εὐδοκίαν ἐνταῦθά πε παραθεῖναι διήγημα, ἐχ ἧττον τῶν ἄλλων ἐνεῖναι δόξης ὅσον εἰ χρὴ τῦτο φᾶναι τῇ βασιλίδι διαρκέσον ϗ Θεομήτορι. αὕτη μὲν ἦν ὅθεν τε κἀκ τίνος, οἵας διαγωγῆς τε, ϗ παιδείας τὸ ἐξ ἀρχῆς ἦν, περιττὸν διεξιέναι πάντως. πᾶσι γὰρ οἶμαι δῆλον εἶναι ὡς ὁ πᾶσι περιδέξιος Μηζάλων ταύτης πατήρ, Μηζάλων, ὁ τῇ μετὰ μεσῶν ϗ χαρίτων γλώττῃ καὶ γνώμῃ τὰ κοινὰ τῷ βασιλεῖ πράττων. ϗ μέγας ἐν ῥώμῃ λόγων, ϗ πράξει, ϗ ἀξιώματι, ϗ γ' ἐν ταμίαις κοινῶν χρημάτων πρῶτος εἶναι τὸ ἐκ βασιλέως, ἐν τιμαῖς ὑπερβαλλέσαις λαβών.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βών. Καντακουζηνῶν δὲ γένους τῇ βασιλίδι τὰ ἐκ μητρὸς, ὧν ὁπόσον τὸ εὐγενὲς ϗ τὸ ἐς ἀνδρίαν ϗ στρατηγίαν διαπρεπὲς, ἱστορίαις ἐντυγχάνειν πρέπον· πλὴν ἀρκέσει φάναι, ὡς γνώμης περιφανείᾳ, ϗ πατρικῆς ἀρετῆς κατὰ πᾶν ὑπερφέροντι, τῷ υἱεῖ τοῦ θαυμαστοῦ βασιλέως, τῷ περιφανεῖ δεσπότῃ τῷ Κωνσταντίνῳ, εἰς γάμους τε ἧκε, ϗ νύμφη βασιλέως ἀκοῦσαι ταύτῃ λαμπρῶς ἐξεγένετο. αὕτη τοίνυν ἐκ πάνυ πολλοῦ δριμύν τινα πόθον εἶχεν ἐγχέουσα τῷ τὴν φύσιν πᾶσαν νικῶντι τῆς πηγῆς ῥείθρῳ, ἐπεὶ δὲ ϗ δεινῷ πάθει ἁλῶναι ξυνέπεσε ῥᾳδίαν μάλα τῷ καιρῷ τοῦ πάθους εὑρίσκει τὴν θεραπείαν· τὸ δὲ πάθος ἐπιεικῶς ἄτοπόν τι ϗ τεταραγμένον, ϗ δαιμόνιον οἷον εἰπεῖν. τὸν γὰρ στόμαχον ἐκτραπεῖσα, κἀντεῦθεν ϗ τὴν ἕξιν πᾶσαν διαλυθεῖσα, ἀθυμίαις ὅτι πλείσταις, ἐν ταυτῷ δὲ ϗ λειποθυμίαις συνεχέσι περιωλίσθαινεν. ἔμετοι τὸ ἐπὶ τούτοις συχνοὶ, καὶ ὅσα τούτοις παρέπεται, ἀηδίαι σφοδραὶ, ϗ τὸ ἀνίσχυρον ὡς ἐπίπαν. ἔργον δ' ἦν αὐτῇ σχεδὸν νύκτωρ ϗ μεθ' ἡμέραν, τῷ μὲν δοκεῖν, λιχνείαν περὶ σῖτα ἔχειν, πρὸς βραχὺ δὲ σχοῦσαν, ὅσον τὸ λειποδρανεῖν ἀναψύξαι αὖθις θύραζε ἀναπέμπειν, ἀηδίας δ' ὅσης ἐμπεπλῆσθαι ταύτην εἰκὸς, οὐκ ἄρα χρὴ παριστᾶν. τόσον δ' ἦν μετὰ τοῦ ἀηδοῦς τὸ πιέζον, ὡς ἐξίτηλον αὐτὴν ἤδη γεγενημένην, κατ' οὐδὲν σκιᾶς διαφέρειν. τί γὰρ ἂν ἡ φύσις ἔσχε, μηδὲν ἁρπάσαι, ϗ εἰς πέψιν παραπέμψαι τῷ συνεχεῖ τῆς ἐς αὖθις ἀνόδου τῆς τροφῆς δυναμένη; μέτρον δὲ μηδ' εἶναι ῥᾶστον εὑρεῖν τῶν ἐμετῶν ϗ τῆς τροφῆς. πῶς δὲ οἴει τὰ κατ' οἶκον ἔχειν αὐτῇ, οὕτω δή τι ἐχούσῃ τὴν ἕξιν; ἀπειρήκει τοίνυν τοῖς ἔνδον, ϗ γ' ἐξῄτει μεταβαίνειν ἔνθεν τῇ τοῦ τόπου δῆθεν, τῇ τ' εὐκραεῖ τῶν ἀέρων ἴσως μεταβολῇ, τὴν ἀπαλλαγὴν τοῦ πάθους ἐντεῦθεν μηχανωμένη. ἐξῄει τοίνυν ϗ παρά τινι τῶν αὐτῆς προαστείων μελιτιὰς τῷ χωρίῳ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ ὄνομα γενομένη, τὸ θεῖον μεταςέλλεται τῆς πηγῆς νάμα, πᾶσα μὲν ἰατρῶν μαγγανεία, καὶ τερατεία, τὸ μηδὲν εἶναι αὐτίκα ἠλέγχετο. οἵτε γὰρ ἔμετοι, ὡς ἐπίπαν ἔςησαν ἀναῤῥέειν, εὐρωςεῖν δὲ μάλα τῷ ςομάχῳ προσῆν, καὶ μοχθηρὰν ἴσως προσιεμένῳ τροφὴν, εὐπετῶς περιπέττοντι, καὶ τὸ τῆς τροφῆς ἐς ἄγαν πλεῖςον ἐκ τῆς νόσου περιεσφθαρὲν, ὡς τάχος ὑπεχώρει, καὶ κατὰ χώραν ἡ φύσις ἐνήργει, καὶ ἦν ἰδεῖν τεραςίως καινοφανῆ τινὰ τὰ πραττόμενα. ὅτε γὰρ ἡ τράπεζα συνεχὴς καὶ ἁβρὰ τῇ πυκνότητι τοῦ λειποδρανεῖν ἐπείγοντος πρόκειμένη, ἰσχνὸν αὐτῇ τὸ σῶμα ἐς ἀκριβὲς, εἶπες ἂν ἰδὼν ὀςῶν σύνθηκην εἶναι νεύροις καὶ δέρμασιν ἐνειρμένην, καὶ τὸ πάθος ὅσον ὁ χρόνος γηρῶν προὔβαινε, μάλλα σφριγῶν ἑωρᾶτο. ὅτε δὲ μετρία μὲν ἡ τροφὴ καὶ τοῦ πρὶν συνήθους ὅτι πλεῖςον ἐνδέουσα, τότε καὶ σαρκὸς ὄγκος προσεπετίθετο, καὶ ὑγιείας ἐν τῷ καθεςῶτι προσῆν, τοῦ θείου ὕδατος λόγοις ἀῤῥήτοις σύμπαν καθιςῶντος ὑπερφυῶς. Ἀλλ᾽ ὅμως μικρὸν παρέδραμε, καὶ ταῦτα τῶν ἐκ ἐλαχίςων ὂν, τῶν δὲ μάλα οἰκείων καὶ μεγίςων σφόδρα, τὶ τ᾽ ἀναγκαῖον εἰπεῖν. Θαῦμα ξ. ἔτος μὲν ἤδη τέταρτον πρὸς τῷ εἰκοςῷ τῷ εὐσεβεῖ βασιλεῖ Ἀνδρονίκῳ τῇ ἀρχῇ διηνύετο. τῶν δὲ δὴ θαυμάτων τὴν ὑπ᾽ αὐτὸν διαθεόντων ἁπανταχῆ, πλῆθος ἄπειρον κατ᾽ αὐτήν γε δὴ τὴν μνήμην τοῦ ὕδατος ἐπιῤῥεῖ, ὡς μηδ᾽ ἂν ῥᾳδίως ἔχειν καὶ τὸν σφόδρα τοῖς ἀριθμοῖς ἐγχαίροντα τὸ ςῖφος ἀπαριθμεῖσθαι. εἴκασεν ἄν τις, σύμβλῳ μὲν τὸν νεὼν τῆς πηγῆς, ἔθνει δὲ μελισσῶν τὸ πλῆθος, ὃ μᾶλλον ἀποθησαυρίζον τὸ μέλι τῷ πανταχῆ περιίπτασθαι, τῷ δὲ μᾶλλον σπεύδειν ἐμφανῶς συλᾶν πάντας τὸ γλυκάζον νᾶμα, καὶ ταῖς ἀποθήκαις τῆς ψυχῆς ἐναποτιθέναι, καὶ τρυγᾶν ἐκεῖθεν τὴν θεραπείαν, ἐπεὶ οὖν ἅπας ὁ δόμος ἔμπλεως ἦν, ὡς μηδέ τι τῶν λεπτῶν ἐς ἄγαν ῥιφὲν ἀρκούντως

τως ἔχειν τῷ ἐδάφει προσπελάσαι τοῦ ἱεροῦ, ϗ θροῦς δὲ ἄσημος ἁπανταχοῦ διηγείρετο πάσης ἡλικίας σχεδὸν, καὶ βρεφῶν ἐπιμαστιδίων, ϗ παίδων, ϗ μειρακίσκων, ἀνδρῶν τε αὖ, ϗ γυναικῶν, ϗ τῶν ἐν ἀξιώμασι παντοίοις διαπρεπόντων παρόντων, ϗ τὴν καλὴν δὴ ταύτην φιλονεικίαν ἀμφισβητούντων, ποτέρῳ τούτων πρώτῳ μεταχεῖν τοῦ ὕδατος γένοιτο, τηνικαῦτα τῶν περὶ τὴν κλίμακα συνωθιζομένων, ἢ ἐκ μαρμάρου ἐμβολίμοις λίθοις ἐγήγερται, συμπιλούντων ἀλλήλους καὶ συγκλονούντων, κίων τις ὃς ὑποβάθρα τῷ χειραγωγῷ τῆς κλίμακος ἐτύγχανεν ὢν ἀνθεστὼς, τῷ ὑπερκειμένῳ βάρει τῆς ἕδρας ἀποσπασθεὶς καταφέρεται, ϗ τῇ προκειμένῃ προσβαλὼν φιάλῃ τοῦ ὕδατος, ἐκείνην μὲν τῆς ἕδρας ἐξίστησι ϗ ῥιπτεῖ κατὰ γῆς μετὰ σφοδροῦ τοῦ ῥοιζήματος, ὑπὲρ ψάμμον ἐκείνῃ ἐγχεομένων ἀνθρώπων καὶ ἀρυομένων τοῦ νάματος. ὁ δὲ εἰς τμήματα πλεῖστα διαῤῥαγεὶς ϗ περιολισθήσας τοῦ τεμένους ἁπανταχοῦ, οὐδενὶ μὲν αἴτιος ζημίας κατέστη τοπαράπαν μὴ λυμηνάμενος, ϗ ταῦτα τοῦ πλήθους ἐν στενῷ κομιδῇ συμπαρέντος, καὶ πλείονος ὄντος ἢ χωρεῖν εἶχε τὸ τέμενος. τῶν γὰρ Κυλίνδρων τοῦ μαρμάρου διαθεόντων ὅποι παρήκοι τὸ τέμενος, ἐκ τοῦ σχεδὸν οἱ πόδες τῶν συῤῥεόντων, θείᾳ τινι δυναστείᾳ μετέωροι ἀνεφέροντο. ϗ τοῦτο δὴ τὸ ξένον τῆς νοητῆς κλίμακος τὸ τεράστιον, μηδὲ βρέφους τῷ τοσούτῳ λυμανθέντος συμπτώματι. ἦν δὲ ὁ κίων τὴν μὲν ἀναδρομὴν ἐς ὀργυάς που μάλιστα δύο, κορακίτῃ λίθῳ παρεμφερής. τὸν γε μὴν περίδρομον ὅσον ἄν τις εὐχερῶς καρποῖς χειρῶν ἀμφοτέροις ἐμπεριλήψαιτο.

Θαῦμα ξά. Παρήσειν δοκῶ μοι τῷ τὸν κόρον θέλειν φεύγειν, ϗ τὸ κατὰ τὸν χρυσόζωνον Μιχαὴλ τερατούργημα. ἀλλὰ καὶ τὸ κατὰ τὸν Σεβαστιανὸν δῆτα Θεόδωρον. τούτων γὰρ τῷ μὲν Μιχαὴλ, λιθίασιν νεφρῶν θεραπεύει, ϗ τὴν ἔξοδον τῶν οὔρων ῥᾳδίαν τίθησι μάλα, τὰ

πρῶ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρῶτα πιέζουσαν ἰσχυρῶς· τῷδε, τὴν τοῦ ἥτρου ἐξιᾶται διάτρησιν, ἐπὶ χρόνοις πλείστοις πρὸς θάνατον κατατείνουσαν, οἱ καὶ ἐς δεῦρο τῇ Θεομήτορι τὴν χάριν τῷ ταύτης τεμένει προσιόντες ἐκτείνουσιν· ὡς δὴ καὶ τὴν χρονίαν τῶν μελῶν πάρεσιν, τῇ τοῦ Ἀμινστέλῃ γυναικὶ Γεωργίου, καὶ ταύτην γὰρ πρὸς ἰατρῶν πάλαι ἀπεγνωσμένην, παρὰ δόξαν τοῦ θανάτου ἀφήρπασε, θαυμαστήν τινα προθυμίαν τῷ ἀπορρήτῳ ῥείθρῳ ἐνδειξαμένην. ἓν ἢ δύο προσθεὶς τοῦ λοιποῦ καταπαύσω τὸν λόγον. τί γὰρ τ' ἄρρητα κατὰ τὴν τραγῳδίαν δεῖ με ἀναμετρήσασθαι; εἰ μὲν γὰρ ἦν ἁπάντων ἐφικτὸν περιγενέσθαι τῷ λόγῳ, οὐδὲ λήξαιμ' ἂν πώποτε, κἂν δι' αἰῶνος ἰσχύσαιμι διελθεῖν. ἐπεὶ δ' ὕστερον ἀνάγκη τῶν ἔργων γενέσθαι διαλελοιπότος τοῦ χρόνου, χρεὼν που στῆναι πάντως, δείξαντα ὡς ἀπὸ γεύματος τὸ νᾶμα τῆς χάριτος. οὐδὲ γὰρ οἶμαι βλύζειν τὸ ὕδωρ ἐλάττω τῶν ναμάτων τὰ θαύματα.

Θαῦμα ξβʹ.

Παρίτω τοίνυν τῷ λόγῳ καὶ Μάρκος ὁ ἱερεύς, ᾧ παρὰ ποταμὸν μαίανδρον μὲν ἡ πατρίς, σίπυλος δὲ τὸ ὄρος τοῦτον ἐτιθηνήσατο. περί που γὰρ τὰς ἐσχάτας ὑπωρείας αὐτῷ, τὸ τοῦ κροίσσου ἔστι δὴ μοναστήριον, ἐφ' ᾧ τὰ μοναχῶν ὡς ἄριστα οὑτοσὶ ἐτελέσθη, (ἤυχετο καὶ γὰρ εὐδόκιμον ὂν, ἀνδράσιν ἀρίστοις καὶ τελεωτάτοις θεὸν ἀνιχνεῦσαι, καὶ καρδίαν ζητῆσαι) ὕστερον τῇ Κωνσταντίνου ἐπιδημήσας, τῆς τῶν στουδίων καθηγεῖται μονῆς, καὶ νῦν εἰσέτι ζῶσι διατελεῖ, τὸ ἐν ἁπλότητι μεταδιώκων χρηστὸν, καὶ τῇ τοῦ χριστοῦ αὔλακι τὸν ἐν ἀρετῇ καρπὸν γεωργῶν. τούτῳ δὴ τῷ εὐλαβεῖ ἱερεῖ Μάρκῳ κακοσίτῳ διαγενομένῳ, τῷ τὴν σάρκα θανατοῦν ἐθέλειν, καὶ ἄγχειν σώφρονι λογισμῷ τὰ ταύτης σκιρτήματα, βοτάνας τε ἁλσὶ καὶ ὕδατι ταριχευομένας μάλα προσίεσθαι, καὶ ἄλλ' ἄττα ἔσθοντα φαίνεσθαι, ἃ πονηρὸν μὲν αἷμα οἶδε γεννᾷν, δριμὺ δέπως καὶ ἁλυκὸν ὑγρὸν ἀπορρέειν, ἐν βρα-

χεῖ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χεῖ τὴν ἕξιν μεταῤῥυθμίζεται, καὶ πάσχειν ἦν ἀνάγκη, πρὸς ἕξιν δὴ τοῦ πράγματος μετασκευασθέντος. ἔνθεν τὸ δριμῦσσον ἐκεῖνο καὶ ἁλυκὸν ἁπανταχοῦ τοῦ σώματος διϊὸν, ἐπιφρίσσειν τε κατὰ τοῦ δέρματος ἐβιάζετο, καὶ κατὰ τὴν ἐπιφάνειαν ἐξανθεῖν ἐπίδοξον ἦν. ὡς δέ ποτε ἀλλοιούμενον ἐπιχωριάζειν καὶ παῤῥησιάζεσθαι τοῖς ἔξωθεν ἔμελλε, γάργαλον μὲν ἐνεποίει τὰ πρῶτα, καὶ κατὰ τοῦ σώματος οἱ ὄνυχες ἅπαντες ἐξηκόνηντο. ἀμέλει καὶ κνησμὸς πολὺς ἐπεχώρει, καὶ ἡ σὰρξ εἰς αἷμα διεσκευάζετο πυρουμένη τὸ πρότερον. τῇ γὰρ κνησμονῇ ἀραιουμένου τοῦ δέρματος, τὸ πάθος ὥσπερ δορυφόρος προέτρεχε, βάπτον κατὰ βάθος τὴν ἐπιφάνειαν, ἔνθεν καὶ διαμύσσων τὴν σάρκα τοῖς ὄνυξιν, ἐλάνθανεν ἑαυτὸν ἐκταράττων, οὐκ ἀναψύχων, καὶ ὅσω μᾶλλον θεραπεύειν ἐῴκει, τοσοῦτον τὸ πάθος ἠρέθιζε, καὶ τῷ παῦσαι μόλις κάμνοντα ἀρχὴν ἐνεποίει τῷ πάθει, ὥσπερ ἄρτι τοῦ κνήθειν ἀρχόμενον· χρόνος συχνὸς ἔτος που ἕβδομον καὶ μικρόν τι πρὸς τὸ πάθος τῷ Μάρκῳ ἠνώχλει. ἐπεὶ δὲ πάντα πράττων, φλέβα τέμνων, καθαρσίοις προσχρώμενος, πάντα πράττειν μᾶλλον ἐῴκει, ἢ διαμάχεσθαι πρὸς τὴν νόσον, μιᾷ πρὸς ὄρθρον τῶν οἴκοι ἀπάρας, ἐφίσταται τῇ γλυκυτάτῃ, καὶ ζωηφόρῳ πηγῇ, καὶ τὰ πρὸς θυσίαν εὐπρεπῆ παρεσκευασμένος, σύῤῥοια δὲ καὶ ἄλλων συμβὰν οὕτω διεγεγόνει, φίλων τε αὖ, καὶ τοῦ ἴσου κοινωνούντων αὐτῷ σχήματος, ὁ μὲν οὖν ἱερεὺς ἀπῆν τοῦ νεὼ, ἐπὶ σφέτερ᾽ ἅττα τῇ Κωνσταντίνου ἐνδιατρίβων, ὁδὲ ἠνιᾶτο σφόδρα, καὶ ἤσχαλλε, τῶν ἐλπίδων παντάπασιν ἐκπεσών. ἀλλ᾽ ἡ καλὴ ἑταιρία ἐκείνη πείθουσιν αὐτὸν γ᾽ ἐκεῖνον ἱερᾶσθαι Θεῷ λαχόντα, καὶ ὅσον τάχος τὰ τῆς θυσίας ἐπιτελῆ πράττειν, γίνεται τοῦτο καὶ ὕστερον ἀθρόον τῷ τοῦ ὕδατος κάλλει περιχυθεὶς, καὶ τοῦ τῆς πηγῆς ἀῤῥυσάμενος νάματος, ἐμφορεῖται σφόδρα, καὶ καθ᾽ ἁπά-

σης

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ

σης ἐγχεῖ τῆς σαρκὸς, ὡς μάλιϛα τῇ χειρὶ ἀνατρίβων, ϗ ὢ τᾶ θαύματος, τῷ ποτίμῳ ὕδατι τὸ δριμὺ ϗ ἀλυκὸν ἀποκλύζεται νᾶμα, νεκρωθὲν ὡς ἄν τις φαίη τῇ παρουσίᾳ τῆς χάριτος. ἐξ ἐκείνου γὰρ διαμεμένηκεν ἀπαθὴς, μὴδ' ὁπωσοῦν τοῦ πάθους αὐτῷ ἐνοχλήσαντος, ἀλλ' ἑτέρῳ τρόπῳ διατμιωθέντος, ϗ συνεκκριθέντος ἱδρῶσι τε ϗ διαχωρήμασι ταῖς ὑπὲρ λόγον θεραπείαις τῆς Θεομήτορος. Περιήκει δὲ ἡμῖν ὁ λόγος ϗ ἐπ' αὐτὴν δῆτα τῶν θαυμάτων τὴν κορυφὴν, τὰ γὰρ κατὰ τὸν πολὺν ϗ θεῖον Μακάριον διηγήσεται. τοῦτο γὰρ ὥσπερ τις κλεὶς ϗ κορωνὶς τῷ παρόντι λόγῳ γενήσεται, τῶν θαυμάτων ἀεὶ μὴ παύσασθαι φύσιν ἐχόντων, ἀλλὰ προσεκτέον τῷ διηγήματι. ἔχει γάρ τι καὶ χάριεν μετὰ τοῦ θαυμαϛὸν εἶναι, ϗ ἐπιεικῶς ἐϛιν ἀξιάκουϛον. οὗτος ὁ οὐχ ἧττον τὴν κλῆσιν ἢ τὸν τρόπον Μακάριος, σέῤῥας μὲν ἔσχε πατρίδα, ἐπιφανὴς τὸ γένος, ϗ πατράσιν ἐχρήσατο, οὐ μᾶλλον εὐγενείᾳ, πλούτῳ τε καὶ τοῖς ἄλλοις σεμνυνομένοις, ὅσον ἀρετῇ καὶ λόγοις ϗ θεὸν εἰδέναι διαπρεπέσι. τῶν μὲν οὖν ἐν τῇ πατρίδι πλεῖϛον ὑπερεῖχον οἱ πατέρες ϗ πρόγονοι, παιδὸς γεμὴν τοῦ σφετέρου ἡττῶντο, νίκην τὴν ἐπαινετὴν τῷ ὄντι, ἣν μὴ νικηθῆναι ἧττα πάντως ἡ μεγίϛη πατρίς. οὐ μόνον οὖν τοῖς ἄλλοις ὁ παῖς διαφερόντως ἐκράτει, ἀλλ' ὅτι καὶ τῶν ἐνθένδε ἀπαναϛὰς, τῆς κρείττονός τε ϗ ἐπὶ τὰ κρείττω φερούσης ἥψατο, τῶν ἐν τῇ πατρίδι διατριβῶν ὀλίγα γευσάμενος. τούτῳ τοίνυν παίδευσιν ϛεῤῥοτέραν ϗ ἀγωγὴν μεταδιώκοντι μείζονα, ὅρητε βάσιμα γέγονε, ϗ ἡ ἥσυχος βιοτὴ τὸ ἐπίσημον, ϗ οἷς καταλαμβάνεσθαι τὸ ἀκατάληπτον εἴωθε· σὺν πολλοῖς οὖν ϗ ἄλλοις, ϗ τῇ Κωνϛαντίνου ἐπιφοιτᾷ, κἀνταῦθα τοῖς ἀσκητικοῖς τρυχομένῳ πόνοις, νόσου δεινόν τι χρῆμα τούτῳ προσρήγνυται, οὐχ ὑπὸ διαίτης, ἢ τρυφῆς πολυτελείᾳ διεφθαρμένῳ, ἀλλὰ

Θαῦμα ιγ'.

μᾶλλον ἐνδείᾳ, ϗ ἀπορίᾳ, ϗ τῷ σκληρᾷ ϗ παρακεκινδυνευμένῃ χρῆσθαι διαίτῃ, ἵνα κύριόν γε τούτῳ εἴη τὸ σύζυγον, ϗ πρὸς ἀρετὴν εὐπετῶς ἔχοι συναίρεσθαι. ἡ δὲ νόσος ἐξηλλαγμένη πάμπαν, ϗ περὶ τὰ καίρια τῆς ζωῆς ἐπεισφρήσασα, εἴπερ δὴ καίριον ἡ ἀναπνοὴ, ϗ ὁ ταύτης ὑποδοχεὺς ὁ συριγγώδης ϗ διάτρητος πνεύμων, ἐξ ἧς ϗ τὸ πάθος μάλα γνωρίζεται· δύσπνοια γὰρ παρωνόμασαι. γίνεται δὲ τοῦτο τὸ πάθος ἔκτινος ῥεύματος πρῶτα τὴν κεφαλὴν ἀνατρέχοντος, εἶτα ψυχομένου καὶ διηνεκὲς κατὰ τοῦ στήθους χωροῦντος, τῇ δ᾽ ὑπερβολῇ ϗ ἀπληστείᾳ τῆς εἰσροῆς, ϗ πρὸς τὸν πνεύμονα μετοχετεύοντος τὸ ὑγρόν. ἴσως δὲ ϗ τῇ τῆς τροφῆς βραδυτῆτι τῷ τὸν στόμαχον πονήρως ἔχειν τῷ κρύει πέψει παραδιδόναι, ἅπερ ἂν ϗ προσλήψαιτο. εἰς φλέγμα γὰρ τὸ πλεῖστον ἐξαλλοιοῦντα, τῷ ἐξίτηλον εἶναι ϗ διεῤῥυηκότα, εἶτα ϗ τῷ πνεύμονι παραπέμποντα, τὰς σήραγγας ἁπάσας αὐτῷ ἔμπλεω τούτου ποιεῖν. τῆς δὲ δὴ πνοῆς εἰσρεούσης ὡς ἔθος, ἐπεὶ μὴ ἔχει τὰ ταύτην ὑποδεξόμενα· ἐμφραγῆναι γὰρ αὐτὰς συμβαίνει τῷ φλέγματι, στενοῦσθαι μὲν ἐκεῖνον εἰκὸς, ϗ συνεχὲς τὸ ἆσθμα προΐεσθαι, ἀνάγκη οὖν τοὐντεῦθεν, πυκνότερον τὸν πάσχοντα διαίρειν τὸ στόμα, ἐς ὅτι πλεῖστον ἀνευρυνόμενον, πλήττεσθαι δὲ αὐτῷ ϗ τὸ στῆθος, ταῖς σφοδροτάταις τοῦ πνεύματος εἰσροαῖς τε ϗ ἐκροαῖς, τάς τε σιαγόνας ἀγωνιᾷν, ϗ τὰ ὄμματα ἀνῳδηκότα εἶναι, τῇ βίᾳ στενοχορούμενα· ὑποῤῥεῖν δὲ αὐτῷ ϗ τὴν σάρκα, μηδέν τι τῆς τροφῆς προσλαμβάνουσαν, ϗ τὴν ἔνδον πᾶσαν διάπλασιν ἐκταράσσεσθαι, ὡς δοκεῖν διεσπᾶσθαι τῆς συμφυΐας, ϗ ἀνατρέχειν κατὰ τοῦ στόματος, ἕως δήτισιν ἡμέραις, τὴν ἐνσήραγξι τοῦ πνεύμονος ἅτε δὴ πεφθὲν, ἀπαγορεῦσαν τὸ φλέγμα διατριβὴν, ἀναῤῥέειν κατὰ τοῦ στόματος ἄρξηται, ϗ προχεῖσθαι τοῖς ἔξωθεν, φλέγμα παχὺ ϗ διαφανέστατον,

τον,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τον, ἀφρῷ παντάπασιν ἐοικός. τοιοῦτον τὸ πάθος, μέγα μὲν ἐν τοῖς πάθεσιν, ἐς τοσοῦτον δ᾽ ὑπερβολῆς τούτῳ γενόμενον, καὶ ὑπερφυῶς ἀκμάσαν, ὅσον συμβαίνει τὸ πάθος τετάχθαι ἐν μείζοσι, καὶ οὐ δύσπνοιαν εἶναι δὴ μόνον, ἀλλὰ συνδραμεῖν τῷ κακῷ, καὶ ὀρθόπνοιαν, καὶ ἐς μέγα τὸ δεινὸν, τῷ ἀνδρὶ ἐπεχώρει. τί δ᾽ ἰατροῖς παρεῖτο, ὃ μὴ πραχθὲν, ἀνάγκην εἶχε, παραιτεῖσθαι αὐτῷ τὴν ζωήν. τόσον δ᾽ ἦν τὸ πιέζον, ὡς σκιᾶς οὐδὲν ἄμεινον διαφέρειν παρασκευάσαι, ἀπόσιτόν τε ἐκ τοῦ ἐπὶ πλεῖστον εἶναι, καὶ τὸ παραδοξότατον, ἄϋπνον, οὐ κατακείμενον, ἀλλ᾽ ἐπὶ τῆς κλίνης ὀρθὸν καθῆσθαι συνέβαινε, καὶ τῇ βίᾳ στενοχωρούμενον, ἐφ᾽ ἡμέραις πλείσταις ἱδρῶτι περιῤῥεῖσθαι ἀπείρῳ, καὶ καθ᾽ ἑκάστην ἐκπνοὴν τὸν ἰδόντα νομίζειν, καὶ τὸ πνεῦμα θύραζε αὐτῇ συναναπίπτεσθαι. οὕτω τὸ δεινὸν ἄμαχον καὶ τέχνης ἄμεινον ἀνθρωπίνης. ποῦ δὲ παρ᾽ ἐκείνῳ λόγος τοῖς δεινοῖς ἐχομένῳ, ἢ νεῦσις, ἢ ῥοπή τις καὶ παρέγκλισις, ἀλλ᾽ ἦν ἀκλινὴς ὅλος κατὰ τῆς κλίνης ἀνακείμενος ὄρθιος καὶ ἐπὶ πλεῖστον ἀναῤῥέων βιαίως τὸν σίελον, ἐπ᾽ ὀστράκῳ κολοκύνθης καταχεόμενον, θέαμα ἐλεεινὸν, καὶ σωφρόνων ὄψεσι δάκρυον ἀτεχνῶς. πάντα μὲν οὖν μᾶλλον ἦν προσδοκᾶν, ἢ τοῦτόν γε καθυπέρτερόν ποτε φανῆναι τῆς νόσου. ἴσον δ᾽ εἶναι νεκρὸν ἀναῤῥαγῆναι τῶν κάτω, καὶ Μακάριον τοῖς ζῶσι συγκαταλέγεσθαι, πολλῷ γεμὴν ὑγιείας ἐπαπολαῦσαι. αὐτὸς σύ μοι τὸ τεράστιον τῆς νόσου διήγησαι ἱερὲ Ἰωσήφ, ὅ τι ποτε ἦν καὶ οἷον. οὐδεὶς γὰρ λέγοντί σοι διαπιστήσει· σὺ γὰρ ἀφροδίτη, καὶ λύρα φιλοσοφίας ἁπάσης, μουσεῖον περιπατοῦν, καὶ βιβλιοθήκη τις ἔμψυχος, καὶ τῷ ὄντι φιλόσοφος, φύσεως ἐς ἄκρον λόγους εἰδὼς, ἀποχρῶσή τε τῇ γλώττῃ τὸ καίριον ἐφαρμόσαι δεδυνημένος ἑκάστῳ, καὶ τὴν τοῖς πολλοῖς ἄπλοκον σειρὰν ἐντέχνως ἀναλεξάμενος, λόγους ἅτε ἄκρως ἐξησκημένος, καὶ ἀρετῇ τὰ πρῶτα δοὺς οὐδενί· τοσοῦτον ἥκιστ᾽

ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν θατέρῳ λειπόμενος, ὥστε πάλιν αὖτις γένοιτο, ποτέρῳ τούτοιν σοι τὸ φιλοσοφεῖν ἄμεινον. σὺ καὶ τῇ παλαμναίᾳ ταύτῃ νόσῳ ἐφιλοσόφεις ὄντως πάντα γενόμενος τῷ ἀνδρὶ, καὶ φιλοσοφεῖν ἔπειθες ἐν παντὶ, κἂν τοῖς ἐλαχίστοις διακονούμενος, ἰσόῤῥοπον εἰ τοῦτο δέον εἰπεῖν, πρὸς ὑπερβολὴν τοσαύτης νόσου αὐτῷ εὑρεθεὶς παραμύθιον. ἀλλ' οἶδ' ὅτι καὶ τὰ ἐλλείποντα προτρέπεις ἡμῖν ἐπιθεῖναι, αὐτὸς τὰ πλείω τῇ πράξει φιλοσοφεῖν ἐξειδὼς, κἂν τῇ σιγῇ τὸ μέγεθος παριστᾷν. οὕτως οὖν ἔχοντι καὶ ἀθλίως ὑπὸ τῆς νόσου τῷ Μακαρίῳ διακειμένῳ, ὥσπερ ἐνδεῶς τῆς νόσου ταύτης ἐχούσης, καὶ ἑτέρα προσεπιγίνεται τὴν προτέραν ἐν ἐλαχίστῳ δεῖξαι φιλονεικοῦσα. περὶ γὰρ τὴν κύστιν ψάμμοι ἄττα τούτῳ γενῶνται, ἃ πρὸς ἄλληλα συνιόντα δυσχερῆ τὴν ἔκκρισιν τῶν οὔρων ἐποίει, καὶ δυσὶ παλαμναιοτάτοις πάθεσι βαρυνόμενος, ἐν μεγίσταις εἶναι ταῖς εὐεργεσίαις εἰ ἐπισταίη τὸν θάνατον ἐλογίζετο. πλὴν ἀλλ' οὕτω δὴ πιεζόμενος, καὶ καθ' ὥραν ὡς εἰπεῖν ἀποθνήσκων, ἐπεὶ τὰ τῆς Θεομήτορος μάθοι τεράστια, κατὰ τῆς ψάμμου τὸ ὕδωρ τῆς πηγῆς ἐφιστᾷ, καὶ πεφεισμένως ἁπτόμενος, τῇ γὰρ δυσπνοίᾳ τὸ ὕδωρ πολέμιον, ἐκεῖνα μὲν ἅπαντα, ἵνα συνελὼν εἴπω, τῷ οὔρῳ ἐκκρίνει. ἦν γὰρ ἰδεῖν αὐτὰ κατὰ τῆς ἀμίδος συνιστάμενα ὅτι πλεῖστα. ἀλλ' οὕτω μὲν θατέρου τῶν νοσημάτων ἀπήλλακτο, τῇ γε μὴν χρονίᾳ νόσῳ, καὶ πάλιν συνείχετο, καὶ τοῦ χρόνου προκόπτοντος ἐκείνη στεῤῥῶς ἐπετίθετο, καὶ τὸν ἔσχατον ἀνέσειε κίνδυνον. τί οὖν ὥσπερ ἀῤῥαβῶνα τὴν θατέρου νοσήματος ὑγίειαν εἰσδεξάμενος, πεῖραν καὶ αὖθις κατὰ θατέρου προσάγει, καὶ ἐπεὶ βαδίζειν οὐκ εἶχε, τὴν προθυμίαν ὅλην προπέμπει καὶ ἐκχέει τῷ ὕδατι, καί τι τολμᾷ θρασὺ καὶ νεανικὸν, πλὴν τῆς ἐκείνου πίστεως ἄξιον. πέμψας γὰρ μετακομίζει τὸ ὕδωρ, καὶ ὁ πρὶν μηδ' ἀέρος ψυχρὰν ὁλκὴν, ἢ ὕδατος εἰσδεξάμε-

νος,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νος, εἰ μὴ θᾶττον θέρμῃ δήτινι ἀλλοιωθείη ϗ χαυνωθείη, τῦτ᾽ ἐφ᾽ ἅπασι προσχρώμενος ἦν, πίνωντε ἀπνευςὶ ϗ παραγευόμενος, ϗ ἐφ᾽ ἡμέραις ἱκαναῖς τῦτο διαπραττόμενος, ἀπελαύνει τὴν νόσον, ϗ ἀκριβῶς ἀποκρίνεται, ἐκ ἀθρόαν ἀποβαλὼν, ἀλλὰ τὰ μὲν πρῶτα, πρόχειρόν τε ἦν ἐκείνῳ τὸ πνεῦμα. διολισθαῖνον ἠρέμα, ϗ τὸ φλέγμα διέκοπτεν ἡ τῦ ὕδατος δύναμις, ϗ τὺς συριγγώδεις ἐξεκάθαιρε τόπυς τῦ πνεύμονος· ἀμὴν δὲ ϗ ὡς ἔθος ὁ σίελος κατὰ τῦ σόματος ἀνεφέρετο, ἀλλ᾽ ἠρέμα μὲν ἐκείνῳ τὰ πάντα, ϗ ἀνεκτότερον εἶχε, ϗ τὴν παντελῆ ἐντεῦθεν ἀπαλλαγὴν ὑπισχνέμενα ἦσαν· τῦ δέ γε φλέγματος, τῦ κατὰ τῦ σόματος ἕρποντος, τὸ μὲν, τοῖς κάτωθεν συνηλαύνετο, ϗ εἶδες ἂν τῷ ἤρῳ συνεκκρινόμενον, δίκην τε χιόνος ἐπιπολάζον, καὶ τῷ ὑγρῷ ἐποχέμενον, ἄλλο δὲ ϗ πρὸς τὺς πόδας διέβαινεν. ὠγκῦντο τοίνυν ἐκεῖνοι ϗ τῦ συνήθυς ἐξίςαντο, ἐπὶ δοξοί τε ἦσαν, ὅσον ἔπω διαῤῥαγήσεσθαι τῇ ςενοχωρίᾳ, ϗ τὸ πιέζον ἀθρόον ἀποβαλεῖν. ἐπὶ τοσῦτον τὸ δεινὸν συνηλαύνετο, ἀλλὰ βόρβορος θεῖος τῦτο τέως ἐπεῖχε, ϗ ἀνεχαίτιζε, κατὰ τῆς ἐπιφανείας ἐπιχριόμενος. τὸ δὲ ὕδωρ αὖθις πινόμενον, προσηπήντα, ϗ ἀνατρέχοντι ἐμπόδιον ἦν. ὁ μὲν γὰρ ἱερὸς βόρβορος ὥσπερ τινα δραπέτην ἀνώθει τῶν κάτω τὸ φλέγμα, τὸ δὲ ἄνωθεν ὕδωρ περὶ τὴν κύςιν τῦτο καταλαμβάνον ἐβίαζε, τὸ δ᾽ ἐξέπιπτε ςενοχωρέμενον ταῖς ἐκκρίσεσιν, ὑσσώπυ δίκην ἐπαφρίζον ἐς μέγα, ϗ ὕτως ἐξάντης παρὰ δόξαν τῦ πάθυς γενόμενος, τὴν πηγὴν κατελάμβανε, ϗ τὸ περὶ τὸν θεῖον Εὐςράτιον κελλίον διακοσμήσας, τῆς τε ὕλης ἀνακαθάρας, ϗ πρὸς τὸ εὐπρεπὲς διασκευασάμενος, τὸ τεσσαρακονθήμερον διετέλεσε, ϗ νῦν ἐςι ζῶν ϗ ὁρώμενος, τοῖς τε πλείοσιν ἀπιςέμενος, ὅτι δὴ αὐτὸς ἐκεῖνός ἐςιν, ὁ ἐπὶ ἓξ πρὸς τοῖς δέκα τῇ νόσῳ ταλαιπωρήσας ἐνιαυτοῖς. ὗτός ἐςιν

ὁ εἷς

ὁ εἰς τόνδε τὸν ἀγῶνα καθεὶς ἡμᾶς, καὶ δειλιῶντας, ταῖς εὐχαῖς ἐπιῤῥώσας, καὶ πρὸς τ' ἔργον παραθαῤῥύνας, καὶ πρῶτος ἡμᾶς καταδῦναι τὸν ἀγῶνα τοῦτον ἐκβιασάμενος, μᾶλλον δὲ τὸ βάθος ἀναδιφῆσαι, καὶ τοῦ πελάγους ὑπερνήξασθαι τῶν θαυμάτων· διὸ καὶ ὕστερος τῶν ἄθλων παρ' ἡμῶν κατετάχθη ὑπὲρ ἅπαντας ὡς εἰπεῖν, καὶ ὑπερφυῶς διηνυσμένος τῇ Θεομήτορι. ἀλλὰ τῶν θαυμάτων ἅλις ἤδη. οὐδὲ γὰρ εἴτις τὴν παρ' ἀνθρώποις δύναμιν ὑπερβάλλοιτο, οὐκ ἂν ποτ' οὐδ' ἐγγὺς αὐτῶν γένοιτο. ὡς γὰρ τὸν διὰ πελάγους πλεῖν ᾑρημένον, εἴ τις ἔροιτο, πόσοις τισὶ ῥοθίοις ἐντύχοι, καὶ ποσαπλῆς τῆς θαλάττης πεπείρατο, οὐκ ἂν ἀποδοίη λόγον οἶμαι, ἅτε ὕφαλος διὰ πάσης ἐλθὼν, οὕτω μοι δοκεῖ κἀνταῦθα παθεῖν τὸν πυθόμενον. ἑκάστη γὰρ ἡμερῶν συγγραφὴν ἂν ἰδίαν σχοίη. πλὴν ἡμῖν ὅσον ἀπὸ τοῦ κρασπέδου τὴν ὑφὴν τῆς ἐσθῆτος ἐνδείξασθαι ἠσπούδη, κἀκ τῶν ὀνύχων τὸ τῆς παροιμίας, τὸν λέοντα, καὶ τὸ πρόσφορον φᾶναι, κἀκ τοῦ νάματος τὴν πηγήν· ἀποχρήσει γὰρ οἶμαι πάντως, ὀλίγ' ἄττα τῶν θαυμάτων τὸ περιὸν τῆς ῥώμης καὶ δυναστείας τοῦ ὕδατος ἀποδεῖξαι. ἄγε δὴ λοιπὸν, πολλῶν μὲν ὑδάτων ἐς ὅσον τιμῆς ἡκόντων, τῷ ψυχρῷ τε καὶ διειδεῖ, καὶ πρὸς χρῆσιν δή τ' ἀναγκαίῳ δεῖξαι προθυμηθῶμεν, ὅσῳ τῶν ἄλλων ἁπάντων ὑπερηκόντισεν, ὕδωρ τὸ τῆς πηγῆς. Μωϋσῆς μὲν οὖν τὴν κοσμογένειαν ἐξυμνῶν, καὶ τὸ τοῦ παραδείσου χάριεν διηγούμενος, πηγή φησιν ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐκάλυπτε πᾶν τὸ πρόσωπον τῆς γῆς, ἀλλὰ τῇ μὲν μόνον προῤῥέειν ὕδωρ, τὸ κράτιστον, ἡ δὲ πηγὴ πρὸς τούτῳ καὶ τὸ πάντη διατρέχειν τῇ φήμῃ καὶ θεραπείᾳ, τοῦτο δὴ τὸ ἐξαίρετον, καὶ μόνῃ βουλήσει τῶν καμνόντων, καταλαμβάνειν ἐν ταυτῷ ἀκαρὴ τὸ περίγειον. Ἔβλυζε μὲν οὖν πάλαι ποτε διψῶσιν ἑβραίοις ὕδωρ ἐκ πέτρας ῥάβδου πληγὴ, ἀλλὰ πρὸς

(margin: σύγκρισις. α'. — at "κόντισεν"; β'. — at "ἀκαρὴ")

ὥραν

ὥραν ἐπεμετρεῖτο τοῦτο, καὶ χρόνος ἤλεγξε τὴν κατὰ φύσιν ἄνικμον πρὸς τὴν φύσιν χωρήσασαν, ἤδ' ἀεὶ ῥεῖ, καὶ χρόνος αὐτῆς οὐχ ἅπτεται. πλῆθος δὲ τοσοῦτον τοῦ νάματος, ὥστε ἀκμῆτας εἶναι τοὺς ἀρρυτομένους, κἂν τούτῳ μόνῳ τὸ ταυτὸν ἐστιν ἐφευρεῖν. καὶ γὰρ ἀῤῥυομένῳ καὶ ἐωμένῳ τὸ ἴσον ἀεὶ προβάλλει, ἀντίστροφα τῷ τετρημένῳ πίθῳ διαπραττόμενον. ὅταν δὲ καὶ πρὸς τὴν ῥῶσιν ἀπιδεῖν γένοιτο, ἐν δευτέρῳ πάντως θήσεις ἐκείνης τὰ κράτιστα, καὶ ἐς ὑπερβολὴν ἐστι τὸ διάφορον, μηδὲ πρὸς τὰ ἴσα τῶν ἐλαχίστων ἔχον τὴν σύγκρισιν, εἶχε μὲν δὴ καὶ χάριν, ὁ σιλωάμ, ἡνίκά τινα τῶν ἐκ τῆς πόλεως ἴδοι ἀπεσταλμένον, ἄφθονον τὸ ὕδωρ ἐπιχορηγῶν, καὶ πάλιν τοῖς ἐξ ἑαυτῶν ἰοῦσι καὶ ἀλλοτρίοις ἀναχαιτίζων τὸν ῥοῦν. τῇ δ' ἡμετέρᾳ πηγῇ οὐκ ἐπιμετρεῖται τοῖς ἀποστελλομένοις τὸ ὕδωρ, πολλῷ γεμὴν ἐν ἀφθονωτέρῳ τῷ ῥείθρῳ προχεῖται τοῖς αὐτόθεν ἥκουσι, καὶ ἄλλως προβαλλομένοις τὴν πίστιν, καὶ διπλῆν τὴν χάριν παρέχει, τό,τε δίψος ἐξημεροῦσα, καὶ τὸ δὴ μέγιστον συνεπεισρέουσα καὶ χάριτος οὐκ ἐλάχιστον. τί δὲ τὸ τῆς σαμαρείτιδος φρέαρ, οὗ καὶ χριστὸς αὐτὸς ἔπιεν, ἔχοι ἄντις πρὸς τούτῳ εἰπεῖν ἐμφερές; οὐ δαμῶς. οὐδ' οἶμαι χριστὸς ἐκεῖ τῇ γυναικὶ ἐπαγγέλλεται παρασχεῖν, ζῶν καὶ ἀλλόμενον, τοῦτ' ἂν εἴη πάντως, εἴπερ ἐξ αὐτοῦ προχεῖται πάντως ὁρμώμενον, ὡς παντί γε ταύτην διὰ τοῦτο δόξαν ὑπεῖναι, ὑγιεινότερόν τε εἶναι, καὶ παντοίᾳ νόσῳ ἀντίπαλον ἐξ αὐτῆς προῤῥέον τῆς χάριτος ἄντικρυς. μέγα πάντως τὸ ἐν τῇ προβατικῇ ἐκτελούμενον, ἀλλ' ὥρᾳ μιᾷ τοῦ ἔτους, καὶ ταῦτα τούτῳ καθίστα τῶν πρὸς ὑγίειαν πιεζομένων τὸ γόνιμον. καί τις ἔδειξε πάντως ἀπορίᾳ τοῦ θεραπεύσοντος, ὀκτὼ πρὸς τριάκοντα ἔτη, τάφῳ τῇ κλίνῃ χρησάμενος. τὸ δὲ τῆς πηγῆς ὕδωρ τῷ αἰῶνι συμπαρεκτείνεται, καὶ σχολὴν οὐκ ἄγει ἄλλό τι πράττειν, ἢ σώζειν ἀνθρώ-

γ'.

δ'.

ε'.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνθρώπες, ϗ πᾶσι φάρμακον γίνεται, μήτι γε παρακαθημένοις, ϗ τὴν ὥραν τῦ κινήσοντος προσδοκῶσιν, ἀλλὰ πίςει πόῤῥω φθάνον, τὸ ἶσον τῇ ῥίζῃ ἐργάζεται, πολλῷ δ᾽ εἰπεῖν ϗ τὰ κρείττω, τῷ πόῤῥω φέρεσθαι, ὥσπερ ἐκ διαμέτρε τῇ Σολομῶντος ςοᾷ διακείμενον, μᾶλλον τοῖς πόῤῥω τὴν χάριν ἐπιμετρῦν, ϗ ὅ τοῖς ἔτεσιν ὁ παράλυτος ὀκ ἔχε τυχὼν, τῦθ᾽ ἡμερῶν ἐνταῦθα, πολλῷ δ᾽ εἰπεῖν ὡρῶν ἤνυσε χρόνος, μὴ ἀγγέλε κινῦντος τὸ ὕδωρ ἐφάπαξ ϗ ἐκταράσσοντος. ἀλλ᾽ αὐτῆς τῆς τῦ λόγε μητρος καὶ τῶν ἀγγέλων ὑπερανωκισμένης, θυμῆρες καὶ πρὸς πᾶσαν νόσον ἠρέμα δεξιὸν παρισώσης. πρὸς ποῖον οὖν ἄλλο τὸ ὕδωρ τῦτο, τῶν κατ᾽ ἀνθρώπυς παραβληθείη, εἴγε τέως χρὴ ϗ τῦτο ὕδωρ καλεῖν, ἀλλὰ μὴ νέκταρος ἀποῤῥῶγα, ἢ ἀμβροσίαν, ἢ ἄλλό τι τῶν ἀπὸ λωτῦ διεσκευασμένων, ὡς ἂν ἐρῇ ποιητὴς, ἢ μᾶλλον τὸ προσῆκον εἰπεῖν, μάννα καὶ χειμάῤῥυν εἴ τινά περ ἀκέεις τρυφῆς, προθεὶς γάρ τις ἐκ τύτυ τὴν κύλικα ἀθρόον εἰσχέει τὸ ὕδωρ. ἐσάπαξ δὲ γευσάμενος, παρ᾽ αὐτῷ μένειν ἐθέλοι χαλεπῶς ἀξιῶν ἀποχωρεῖν, φαίης ἂν ϗ χάριτας ἁπάσας περιχεῖσθαι τῷ ὕδατι συνεργαζομένας ϗ συνυπηρετύσας τῇ κεχαριτωμένῃ, τὸ πρὸς πᾶν δεξιόν. καί μοι δοκεῖ χώρων εἶναι πάντων ὗτος ὁ κάλλιςος. ὃν γὰρ ἡ τῦ θεῦ μήτηρ πάντων τῶν ἄλλων εἵλετο, ϗ ταῖς παρ᾽ αὐτῆς εὐεργεσίαις πεποίηκεν ἐκφανέςατον, ἧπυ σφόδρα ὗτος κράτιςος τῶν ἐν γῇ. ἄριςον μὲν δὴ ϗ τὸ ὕδωρ ἁπάντων, ὡς εἰκάσαι μήδ᾽ ἄν πυ ῥυῆναι ἄλλο ὑγιεινότερον. ἔςι γὰρ, ὡς οἷον εἰπεῖν, λεπτότατον ἁπάντων καὶ διειδέςατον, καὶ ὅτι ἐγγυτάτω ἀέρος. ἕπεται δὴ κυφότατον εἶναι πάντως καὶ πραότατον μάλιςα, ὥςε ἤν τις ὕδωρ ἕτερον τῇ πηγῇ ἐπιῤῥίψειεν, ἐκεῖνο μὲν δύεται, τὸ δ᾽ ἀντάνεισιν αὐτίκα ὥσπερ ἐπινηχόμενον. δοκεῖ δέ μοι καὶ αὐτὸ τὸ ἐπεγχυθὲν ἱκανὸν

νὸν ἂν ὑψῶσαι, τῇ ὑπερβαλλούσῃ κουφότητι, καὶ τὸ μὴ
κάμπον ἄλλως εἶναι τὸν λόγον, κρίνει τοῦτο σταθμός. καὶ
δὴ γλυκύ τε ἐστιν ὑπερφυῶς, καὶ ποτίμων δηλαδὴ ποτιμώ-
τατον, κατὰ διάμετρον τῷ τῆς στυγὸς ὕδατι ἐν παντὶ, μη-
δὲν φρικῶδες ὑποσημαῖνον, καὶ ἐς ἀεὶ μὲν χεόμενον, τὸν
δ᾽ ὅρον ὑπερβαῖνον μηδέποτε, ἅτε γὰρ διάκονον καὶ συνερ-
γὸν τῇ φιλανθρωποτάτῃ τοῦ λόγου μητρί. ἀεὶ πλῆρές
ἐστι, καὶ ὥσπερ ἐκείνῃ ἄσχολον ἔργον τὰ ἡμέτερα εὖ πράτ-
τειν, οὕτω καὶ ἡ πηγὴ τὴν ὄντως ζωήρρυτον καὶ ἀένναον
ἐκμιμουμένη χάριν τῆς Θεομήτορος, ἀεὶ. προβάλλει τὸ
ῥεῖθρον τὴν τῶν δεομένων χρείαν ἀποπληροῦν. πολλοὶ μὲν
γὰρ νιψάμενοι ὀφθαλμοὺς ἐκομίσαντο. ἄλλοι πιόντες τὸ
στέρνον ἰάσαντο. καὶ τὴν ἀγωγὴν τοῦ πνεύματος ἀνελάβοντο
ἕτεροι. ἄλλοις κατὰ πόδα χυθὲν, τούτους ἠνώρθωσε. καὶ
ῥεῦμα ἕτερος ἀνέσχε σπασάμενος. ἤδη δέ τις πιὼν ἐξ ἀ-
φώνου φωνὴν ἀναῤῥήγνυσι. σεσίγηκε κασταλία, καὶ ὁ τοῦ
Ἀπόλλωνος ἐν δελφοῖς τρίπους ἐψεύσατο. μόνον δὲ τὸ τῆς
πηγῆς ὕδωρ κελλαρύζον πρόεισιν ἐκχεόμενον, ἄφθονα
καὶ ἀληθῆ τὰ ῥεύματα προϊὸν, καὶ ὑπὲρ τὴν κασταλίαν
βοᾷ ἁπανταχοῦ τῆς γῆς φωνὴν ἀφιὲν τῇ τῶν θαυμά-
των περιουσίᾳ. τοῦτο δὴ καὶ νοσοῦσι, καὶ ὑγιείας ἐν-
καλῷ καθεστῶσι, σωτήριον, καὶ ἀλεξιφάρμακον, καὶ χρῆσιν
ὕδατος ἑτέρου, οὐκ ἄμεμπτον ἐνεργεῖ. πάντα γὰρ ἐν δευτέ-
ρῳ τούτου τετάχαται. ἔοικε δὲ τῶν ἄλλων μετασχόντι τὸ
κρεῖττόν τινι, ὥσπερ μετ᾽ ἀνθοσμίου οἶνον τινα πίνειν ἐξη-
στηκότατε, καὶ ὀξώδη. ἀλλ᾽ ἔστι τοῦτο ὑπὲρ νέκταρ, οἷον τι
πότιμον καὶ αὐτόχυμον, ὑπερφυᾶ τινι κράσει κεκραμένον
ἀρκούντως. οὐ γάρ τι μόνον πόμα πομάτων ἥδιστόν ἐστιν, ἀλ-
λὰ καὶ λούσασθαι ἀσφαλέστατον, ἐπὶ ψυχρῷ καὶ ταῦτα τῷ
περιέχοντι, ἄμικτον θέρμης ἁπάσης. οὐ γὰρ πρὸς τὰς ὥρας
τοῦ ἔτους ἀντέστραπται. αὐτίκα γὰρ θέρους μὲν αὐτὸ ἑαυτοῦ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ψυχρότατον, χειμῶνος δὲ ἠπιώτατον, τὰ ἐκ τȣ̃ καιρȣ̃ δυσχερῆ ἀεὶ λύον ϗ ξενοτρόπως παραμυθέμενον. καί τις κρυςάλλȣ πεπηγότος προτείνας τὴν χεῖρα ϗ νιψάμενος, ἴσως δὲ ϗ νόσῳ τινὶ κατὰ κεφαλῆς ἐγχεόμενος, ᾔσθετο θερμότερος γενόμενος ἑαυτȣ̃, ϗ τ᾽ ἄλλα πάντα συνεργῷ ἡ τȣ̃ θεȣ̃ μήτηρ χρῆται τῷ ὕδατι, ϗ συμβάλλεται πᾶσι τȣ̃το τὰ πρὸς ἔφεσιν ἐκτελοῦν. ϗ ἴςι δὴ ἱερὸν τῷ ὄντι τὸ ὕδωρ, ȣ̓ τῷ μὴ ψαύειν τοῖς πολλοῖς εἶναι ἀθέμιτον, ἀλλ᾽ ἔςιν ἐκ τȣ̓ναντίου ἐν τȣ́τῳ μᾶλλον εἶναι τὸ ἱερὸν, τῷ πᾶσιν ἐφειμένον εἶναι ὁπωσδήποτέ τις βȣ́λοιτο χρῆσθαι, ϗ ἵνα συνελὼν εἴπω, τοσȣ̃τον τȣ̃ μεγέθȣς περίεςι τῇ πηγῇ, ἵνα μικρόν τι παρῳδήσας τῆς τραγῳδίας ἐρῶ, ȣ̓κ ἔςι δεινὸν ὧδ᾽ εἰπεῖν ἔπος, ȣ̓δὲ πάθος, ȣ̓δὲ ξυμφορὰ ἐν ἀνθρώποις θεήλατος, ἧς ȣ̓κ ἂν ἄραι τ᾽ ἄχθος ἡ τȣ̃ παρόντος ὕδατος φύσις. ἐγὼ μὲν οὖν ȣ̓δέ τι τῶν ἁπάντων, ȣ̓δὲ ὅ,τι ἂν εἴποι τις τῶν ὑδάτων παραβάλλειν ἔχοιμι τῷ πάντα καλῷ, ϗ τὸ ὅλον ἀχράντῳ ϗ ἱερῷ ὕδατι. φαίην δ᾽ ἂν τȣ̃το τοσȣ́τῳ ἐφ᾽ ἅπασι νικῶν ὕδασιν εἶναι, ὅσῳπερ καὶ τὴν αὐτȣ̃ προςάτιν ἀσυγκρίτως ὑπερκειμένην, τῶν ὅσα ὑπ᾽ αἴσθησίν τε, ϗ αὐλίαν μετὰ τὸ ἀκήρατον αἴτιον. ὅσια δ᾽ ἂν λέγοιμεν προσηκόντως κρίνοντες, οἷς αὐτὴ ταύτην τὴν ψῆφον ἐξήνεγκε, κάλλιςόν τε ϗ ἄριςον ὑδάτων κρίνασα εἶναι, τῷ διατρίβειν αἱρεῖσθαι τȣ́τῳ, καὶ κατακοσμεῖν ταῖς τῶν θαυμάτων ὑπερφυέσι πλημμύραις, ϗ ἀναχωρεῖν ἥκιςα βȣ́λεσθαι, ἕως ȣ̃ καὶ τῷ ἡλίῳ τὰ περὶ τὴν γῆν ἐφορᾶν θέμις.

Ἀλλ᾽ ὦ πηγὴ ἀένναε καὶ ἀείῤῥοε, ὦ πέλαγος ἀχανὲς καὶ ἀδιεξίτητον, ȣ̓ μᾶλλον ὕδωρ, ἢ τὸν ζῶντα λόγον προχέȣσα, δέχȣ δὴ τὸν ἡμέτερον λόγον τόνδε, ςαγόνα οἷον, ϗ ςαγόνος ὅσον τȣ̓λάχιςον, τῷ σῷ τῆς εὐφημίας πελάγει χεόμενον, ϗ ῥανίδα τῶν σῶν θαυμάτων ἐξ ἀπείρων βραχυτάτην ψεκάζοντα. σὺ δ᾽ ἀντὶ τȣ́τȣ τὸν ἄφθονον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νον πηγάσαις μοι ῥοῦν, τὸν ζῶντα λόγον καὶ ἐνυπόστατον, τά τε ἡμέτερα πρὸς τὸ κρεῖττον μεταῤῥυθμίζοντα, καὶ τὸ τοῦ λόγου νᾶμα διειδέστερον ἐπιμετροῦντα καὶ ὅσον εἰκός μοι ποτίζοντα, μήτε θολερῶν τῶν ἔξω πάμπαν, καὶ ἁλυκῶν ναμάτων ἀναπιμπλάμενον, ἀλλ' εὐφυῶς κεραννῦντα, καὶ τοῖς ποτίμοις τῶν αὐτοῦ ζωῤῥύτων, καὶ ὑπὲρ μέλι νοστίμων λόγων τὸ ἁλμυρὸν ἀποκλύζοντα. ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ μεγαλοπρέπεια, σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ τῇ πηγῇ, καὶ αἰτίᾳ πάντων τῶν ἀγαθῶν, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

ΚΟΥΡΙΛΑ
ΠΑΝΕΠΙΣΤΗΜΙΟ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

...ΒΛΙΟΘΗΚΗ
...ΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
...ΥΡΙΩΤΟΥ

# Βίος καὶ πολιτεία, ὁμολογία τε, καὶ μερικὴ θαυμάτων διήγησις, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κλήμεντος ἀρχιεπισκόπου Βουλγάρων.

Συγγραφεὶς παρὰ τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου ἀρχιεπισκόπου τῆς πρώτης Ἰουστινιανῆς, καὶ πάσης Βουλγαρίας, κυρίου Θεοφυλάκτου, τοῦ καὶ μαΐστορος τῶν ῥητόρων χρηματίσαντος ἐν Κωνσταντινουπόλει.

Δεῦτε τέκνα ἀκούσατέ μου, δεῦτε καὶ διηγήσομαι ὑμῖν πάντες οἱ φοβούμενοι τὸν Θεόν, ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, υἱοὶ τεχθησόμενοι, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσῃ τὸν κύριον. ταῦτα μὲν Δαβὶδ εἴρηκεν, ἡμεῖς δὲ μετ' αὐτοῦ σήμερον. δεῖ γὰρ τὴν θείαν μεγαλοσύνην ἐκδιηγεῖσθαι πάντοτε καὶ πρὸς ἅπαντας. οὐ ταύτῃ μόνον, ὅσα γὰρ ἂν ἀπαγγείλωμεν καὶ λαλήσωμεν, ὑπὲρ ἀριθμὸν ἐπληθύνθησαν τὰ λειπόμενα. ἀλλ' ὅτι καὶ τοῖς ῥαθυμοτέροις καὶ πρὸς τὴν τοῦ καλοῦ ἐργασίαν ἀπονυστάξασι, διϋπνισμός τις γίνεται ἡ τῶν τοῦ Θεοῦ θαυμασίων κηρυττομένη μεγαλοπρέπεια. οἴονται γὰρ οἱ πολλοὶ τοὺς καθ' ἡμᾶς, καιροὺς

οὐκ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐκ ἄν τι τῶν ἀρχαίων χωρῆσαι. ἀλλὰ τοὺς μὲν προτέρους χρόνους, καὶ θαύμασι λαμπρυνθῆναι, καὶ βίοις ἀνδρῶν κοσμηθῆναι, ἀσωμάτως σχεδὸν ζησάντων ἐν σώματι· τῇ δὲ ἡμετέρᾳ γενεᾷ, οὐδὲν τοιοῦτον δωρηθῆναι παρὰ Θεοῦ. ὅθεν καὶ πρὸς τὸν σπουδαῖον βίον ὡς τῆς νῦν φύσεως μὴ δεχομένης τοῦτον, ἐλεεινῶς γε ἀπενάρκησαν. κακῶς γε εἰδότες ἐκεῖνοι καὶ λίαν ἐπισφαλῶς. ὅ,τε γὰρ τῆς φύσεως λόγος, ὁ αὐτός ἐστι καὶ οὐκ ἠλλοίωται. καὶ κατέλιπεν ἑαυτῷ κύριος, κἀν τοῖς ἡμετέροις χρόνοις, ἄνδρας μάλα πολλοὺς, οἳ γόνυ τῶν κάτω συρομένων οὐδενὶ κάμψαντες, εἰς δόξαν τοῦ οὐρανίου Πατρὸς τῷ τοῦ βίου φωτὶ διέλαμψαν, φωστῆρες ἐν κόσμῳ γεγονότες λόγον ζωῆς ἐπέχοντες. ὥσπερ οὖν καὶ τὴν τῶν Βουλγάρων χώραν ἐφώτισαν ἐν τοῖς ἐσχάτοις καιροῖς. πατέρες μακάριοι καὶ διδάσκαλοι, λάμψαντες διδάγμασί τε καὶ θαύμασι, καὶ βίῳ καὶ λόγῳ καταστάντες παρὰ Θεῷ ἀμφιδέξιοι, ὧν τὸν πάντα μὲν βίον παραδιδόναι γραφῇ, εὐχῆς ἔργον ἐμοί. πλὴν ἀλλὰ κρεῖττον τῆς τοῦ λόγου δυνάμεως. ὀλίγα δέ τινα παραθέμενος, τοῦ τε Θεοῦ τὴν φιλανθρωπίαν καὶ τὴν χάριν τεκμηριώσομαι, μεθ' ἡμῶν ὄντος καὶ ἐσομένου πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας ὡς ἡ ὑπόσχεσις, καὶ δείξω πᾶσιν ἀνθρώποις ὡς οὐχ ἡ φύσις ἡμῖν ἠλλοίωται, ἀλλὰ διέστραπται ἡ προαίρεσις. τίνες οὖν οἱ πατέρες οὗτοι τάχα ζητεῖτε μαθεῖν; Μεθόδιος, ὃς τὴν Πανόνων ἐπαρχίαν ἐκόσμησεν, ἀρχιεπίσκοπος Μοράβου γενόμενος, καὶ Κύριλλος ὁ πολὺς μὲν τὴν ἔξω φιλοσοφίαν, πλείων δὲ τὴν ἔσω, καὶ τῆς τῶν ὄντων φύσεως ἐπιγνώμων, μᾶλλον δὲ τοῦ ἑνὸς ὄντος, παρ' οὗ τὰ πάντα ἐκ μὴ φαινομένων τὸ εἶναι ἔλαβον. οὗτοι γὰρ δὴ διὰ τὴν τοῦ βίου καθαρότητα, Θεὸν λαβόντες ἐν ἑαυτοῖς, καὶ διὰ τοῦ τὸν φόβον λαβεῖν ἐν γαστρὶ τὸ σωτηριῶδες Πνεῦμα ἀποτεκεῖν σπεύδοντες, εἴχοντο



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὲν ἱκανῶς λόγου διδασκαλικοῦ, ἑλλάδι γλώττῃ προφερομένου, ϗ πολλοὺς εἷλκεν ἡ τῆς τοιαύτης σοφίας ἄλυσις, ἐπεὶ δὲ τὸ τῶν Σθλοβενῶν γένος εἴτουν Βουλγάρων ἀσυνέτως εἶχον τῶν ἑλλάδι γλώσσῃ συντεθειμένων γραφῶν, ζημίαν ἡγοῦντο τοῦτο μεγίστην οἱ ἅγιοι. καὶ τὸ μὴ τὸν λύχνον τῶν γραφῶν ἐπανάπτεσθαι τῷ τῶν βουλγάρων αὐχμηρῷ τόπῳ, ἀπαρακλήτου λύπης ἐποιοῦντο ὑπόθεσιν. ἤλυον, ἐδυσφόρουν, ἀπελέγοντο τὴν ζωήν. τί γοῦν ποιοῦσι; πρὸς τὸν Παράκλητον ἀποβλέπουσιν. οὗ πρῶτον δῶρον αἱ γλῶσσαι καὶ τοῦ λόγου βοήθεια. ϗ παρὰ τούτου τὴν χάριν ταύτην αἰτοῦνται. γράμματά τε ἐξευρέσθαι δασύτητι βουλγάρου γλώσσης κατάλληλα, ϗ δυνηθῆναι τὰς θείας γραφὰς, πρὸς τὴν φωνὴν τοῦ ἔθνους τῇ ἑρμηνείᾳ μεταγαγεῖν. ἀμέλει καὶ νηστείᾳ εὐτόνῳ, καὶ προσευχῇ ἐπιμόνω, κακώσει τε σώματος, ϗ ψυχῆς συντριβῇ, καὶ ταπεινώσει ἐκδόντες ἑαυτοὺς, τοῦ ποθουμένου τυγχάνουσιν. ἐγγὺς γὰρ φησι κύριος, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. ϗ ἔτι λαλοῦντός σου ἐρεῖ, ἰδοὺ πάρειμι. Θεὸς γὰρ ἐγγίζων ἐγώ εἰμι καὶ οὐ Θεὸς πόῤῥωθεν. ἀντακούουσιν οὖν ϗ οὗτοι τὴν τοῦ Πνεύματος χάριν, ὡς ὄρθρον ἕτοιμον. καὶ φῶς ἀνέτειλε τοῖς δικαίοις γνώσεως, καὶ ἡ σύζυγος αὐτῶν εὐφροσύνη τὴν προτέραν λύπην αὐτῶν ἀπήλασε. τυχόντες οὖν τοῦ εὐκταίου τούτου χαρίσματος, ἐξευρίσκουσι μὲν τὰ Σθλοβενικὰ γράμματα, ἑρμηνεύουσι δὲ τὰς θεοπνεύστους γραφὰς, ἐκ τῆς ἑλλάδος γλώττης εἰς τὴν βουλγαρικήν. ποιοῦνται δὲ σπουδὴν τοῖς ὀξυτέροις τῶν μαθητῶν παραδοῦναι τὰ θεῖα μαθήματα. οὐκ ὀλίγοι γὰρ τῆς διδασκαλικῆς αὐτῶν πηγῆς ἔπινον. ὧν ἔγκριτοί τε καὶ τοῦ χοροῦ κορυφαῖοι, Γοράσδος τε καὶ Κλήμης ϗ Ναοὺμ καὶ Ἀγγελάριος καὶ Σάββας. ἐπεὶ δὲ καὶ Παῦλον ἐγίνωσκον τοῖς Ἀποστόλοις τὸ Εὐαγγέλιον κοινωσάμενον, τρέχουσι

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ αὐτοὶ πρὸς τὸν Ῥώμης, τῷ μακαρίῳ Πάπᾳ τὸ ἔργον τῆς ἑρμηνείας τῶν γραφῶν ἐμφανίσοντες, ἐκατηυθύνθη ἐπ' αὐτοὺς καὶ μὴ εἰς κενὸν ἔδραμον. ὁ δὲ τηνικαῦτα τοῖς ἀποστολικοῖς ἐμπρέπων θρόνοις Ἀδριανὸς, τὴν τούτων ἀκούσας ἔλευσιν, ἐχάρη μὲν χαρὰν μεγάλην σφόδρα. ἐκ-μακροῦ γὰρ τῇ βροντῇ τῆς περὶ τῶν ἁγίων φήμης καταπληττόμενος, ἐπόθει καὶ τὴν ἀστραπὴν ἰδεῖν τῆς ἐν αὐτοῖς χάριτος· ἐκεῖνο, πάσχων πρὸς τοὺς θείους ἄνδρας, ὃ Μωσῆς πρὸς Θεόν. καὶ ὄψιν αὐτῷ ἐμφανισθῆναι, καὶ γνωστῶς ἰδεῖν ἐφιέμενος· οὐκ ἔτι δὲ κατέχειν οἷός τε ἦν ἑαυτὸν, ἀλλὰ τὸ Ἱερατικὸν ἅπαν σὺν τῷ παρευρεθέντι Ἀρχιερατικῷ προσλαβόμενος, ἐξῆλθεν εἰς τὴν τῶν ἁγίων συνάντησιν. τὸ τοῦ σταυροῦ τε σημεῖον προπορευόμενον αὐτοῦ κατὰ τὸ εἰωθὸς ἔχων, καὶ τῷ τῶν λαμπάδων φωτὶ, τὴν τῆς χαρᾶς, ἐπισημαίνων φαιδρότητα. ἔστι δ' εἰπεῖν ὅτι καὶ τὴν τῶν ἐπιξενουμένων λαμπρότητα. οὓς δοξάζων ὁ τοῖς ἁγίοις ἐνδοξαζόμενος Κύριος, θαύματα πολλὰ τελεσθῆναι παρ' αὐτῶν, κατὰ τὸν τῆς εἰσόδου καιρὸν εὐδόκησεν. ὡς δὲ καὶ τὸ ἔργον ἐμφανισθείη τῷ Πάπᾳ, καὶ τὴν τῶν γραφῶν ἐν γλώττῃ μετάθεσιν κατασκέψαιτο, ἀποστολικὴν οὖσαν γέννημα, οὐκ εἶχεν ὅ χρήσαιτο τῇ χαρᾷ· ἐμακάριζε τοὺς ἄνδρας, παντοίοις ὀνόμασιν ἀνεκάλει, πατέρας, ἐπιπόθητα τέκνα, χαρὰν οἰκείαν, στέφανον πίστεως, δόξης καὶ κάλλους ἐκκλησίας διάδημα. ἐπὶ τούτοις τί ποιεῖ; τὰς ἑρμηνευθείσας βίβλους λαβὼν τῷ θείῳ θυσιαστηρίῳ προσήγαγεν, οἷον τι ἀνάθημα ταύτας καθιερῶν τῷ Θεῷ. καὶ δεικνὺς ὡς τοιαύταις θυσίαις καρπῶν χειλέων εὐαρεστεῖται Θεός. καὶ εἰς ὀσμὴν εὐωδίας τὰς τοιουτοτρόπους καρπώσεις δέχεται. τί γὰρ τῷ λόγῳ λόγου τοὺς λογικοὺς ἀλογίας λυτρουμένου τερπνότερον, εἴπερ τῷ ὁμοίῳ τὸ ὅμοιον ἥδεται. ἀποστολικούς τε τοὺς ἄνδρας, ἐπ' ἐκκλησίας ἐκήρυξε,

τῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ Παύλῳ τὸν ἶσον ὑποδύντας ἀγῶνα, ϗ τὴν τῶν ἐθνῶν προσφορὰν, τελείαν καὶ ἁγίαν τῷ Θεῷ προσενεγκεῖν σπεύσαντας. εἶτα τῶν ἑπομένων τοῖς ἁγίοις, ὅσοι ϗ σθλοβενικῶν γραμμάτων ἱκανὴν πεῖραν ἔχειν, καὶ βίῳ σεμνῷ κοσμηθῆναι παρὰ τῶν διδασκάλων ἐμαρτυροῦντο, τὲς μὲν, τε τῶν πρεσβυτέρων, τὲς δὲ, τε τῶν διακόνων, ἔςι δ᾽ ἐς καὶ ὑποδιακόνων βαθμε ἠξίωσεν, αὐτὸν δὲ τὸν μέγαν Μεθόδιον, καίτοι πολλὰ δραπετεύοντα καὶ ἀναδυόμενον, ἐπίσκοπον Μοράβε τῆς Πανονίας χειροτονεῖ. ἐχ ὅσιον εἶναι κρίνας ἀμοιρεῖν τε ὀνόματος, τὸν ἀξιωθέντα τε πράγματος, ἶσον γὰρ πλημμελεῖσθαι ὅταν τε τε ὀνόματός τις τύχῃ πάμπολυ διωκισμένος τε πράγματος, ϗ ὅταν ἐπίσκοπός τις ὢν τοῖς ἔργοις καὶ τῷ ἀξιώματι παρορᾶται, τάξει τῶν ἰδιωτῶν ὑποκρύπτεσθαι, ϗ λύχνος ὢν, ὑπὸ τὴν κλίνην τῆς ἀφανείας τιθῆται. ἀλλὰ Μεθόδιον μὲν, ἔτως ὁ Ῥώμης ἀρχιερεὺς τῷ ἐπισκοπικῷ τιμᾷ ἀξιώματι, μᾶλλον δὲ τὴν ἐπισκοπὴν δι αὐτε. Κύριλλον δὲ τὸν ὄντως φιλόσοφον ὁ μέγας ἀρχιερεὺς, εἰς τὰ τῶν ἁγίων προσκαλεῖται ἅγια, ἐκεῖ λειτεργήσοντα ἔνδον τῆς σκηνῆς τῆς ἀληθινῆς, ϗ τῶν μυςηρίων μεταληψόμενον πνευματικώτερον καὶ θειότερον, καὶ ποτηρίε τε καινε κοινωνήσοντα. ὥσπερ γὰρ ἐπὶ τέτῳ παραμεῖναι ἐαθεὶς τῇ σαρκὶ, ἵνα τήν τε τῶν γραμμάτων εὕρεσιν καὶ τὴν τῶν γραφῶν μετάθεσιν πραγματεύσηται, μετὰ τὸ ταῦτα διακονῆσαι τῷ θείῳ βελήματι, παρὰ τε διδάξαντος αὐτὸν τὴν γνῶσιν Θεοῦ προσλαμβάνεται. προγνὲς δὲ τὴν ἑαυτε τελευτὴν, τὸ τῶν μοναχῶν σχῆμα ἐπαμφιέννυται, καὶ πάλαι μὲν, τέτο ποθῶν, διὰ δὲ μετριοφροσύνην, ὡς μέγα τι ϗ τὴν αὐτε ἰσχὺν ὑπερβαῖνον ἀναδυόμενος, καὶ φωτὶ φῶς προσλαβὼν, εἰς ἐρανὲς μετέςη, οὗ ὁ Χριςὸς, τὴν τε κλαυθμῶνος κοιλάδα, τὰ τε σκοτασμε σκηνώματα, τὸν πηλὸν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς ἰλύος, τὴν ἐνταῦθα παροικίαν λιπών. καὶ τὸ πνεῦμα μὲν τῷ Θεῷ τῶν πνευμάτων παρέθηκε, σῶμα δὲ ἐκεῖνο τὸ πρὸ τῆς φυσικῆς νεκρώσεως τῆς προαιρετικῆς ἀπολαῦσαν, ὕμνοις ὑπότε τȣ̃ θείȣ Πάπα καὶ τȣ̃ κλήρȣ παντὸς φιλοτιμηθὲν, ἐγκατετέθη τῷ ναῷ Κλήμεντος. Κλήμεντος ἐκείνȣ τȣ̃ τῷ κορυφαίῳ τῶν ἀποστόλων Πέτρῳ πεφοιτηκότος, ϗ τῇ τȣ̃ Χριστȣ̃ σοφίᾳ τὴν ἑλληνικὴν οἷον δεσποίνη δȣ́λην καθυποτάξαντος. καὶ δέχεται τὸν φιλόσοφον ὁ φιλόσοφος. ὁ μέγας διδάσκαλος, τὴν τȣ̃ λόγȣ φωνὴν προσλαμβάνεται. ὁ τῶν ἐθνῶν καθηγητὴς τὸν τὰ λοιπὰ ἔθνη φωτὶ τῆς γνώσεως φωτίσαντα εἰσοικίζεται. ἐπισημαίνει δὲ ϗ Θεὸς προσμαρτυρῶν τῷ Κυρίλλῳ τὴν ἐκδεχομένην δόξαν ἐν ȣ̓ρανοῖς, καὶ τὰ φαινόμενα, τῶν μὴ φαινομένων ποιεῖται κήρυκας. δαιμονῶντες τε γὰρ τῇ σορῷ προσελθόντες ἰάσεις εὕροντο, καὶ πολλαῖς ἄλλαις νόσοις ἡ τȣ̃ ἁγίȣ πνεύματος χάρις μάστιξ ἐλάτειρα γέγονεν. ἅμα τε γάρ τις ἢ τῇ σορῷ προσίοι, ἢ τ' οὔνομα ἐπικαλοῖτο τȣ̃ θεοφόρȣ τȣ́τȣ πατρὸς, καὶ τῆς τȣ̃ λυποῦντος ἀπαλλαγῆς μέτρον τὴν πίστιν εὕρισκεν. ὅθεν πολλοῖς ἐν τοῖς ῥωμαίων στόμασιν ὁ Κύριλλος ἔκειτο, καὶ πλείων ἐν ταῖς ψυχαῖς. ὡς εἶναι, τὰς μὲν θαυματȣργίας τῆς περὶ αὐτȣ̃ δόξης ὑπόθεσιν, ταύτην δὲ, τῆς περιττοτέρας τιμῆς ἐπίβασιν. τὴν δὲ τȣ̃ ἁγίȣ τιμὴν, τῆς τȣ̃ Θεȣ̃ δόξης βεβαίωσιν. ἀλλὰ Κυρίλλῳ μὲν, ȣ̔́τως ἡ τελευτὴ τιμὴ καὶ παρὰ τȣ̃ θειοτάτȣ Πάπα καὶ παρὰ θεȣ̃ τετύχηκε. Μεθόδιος δὲ τὸν σύμπονον ἀποβαλὼν ϗ συνέμπορον, τὸν τὰ πάντα καὶ ἐν σαρκὶ, ϗ ἐν Κυρίῳ γνήσιον ἀδελφὸν, λύπῃ μὲν τὴν καρδίαν ἐπεβάλλετο, πάσχων τȣ̃το δὴ τὸ ἀνθρώπινον, ϗ συνηθείας ἁλώσιμος ἦν. παρεκαλεῖτο δ' ἑτέρωθεν, ȣ̓δὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον ἐλπίζων ἔχειν τὸν Κύριλλον τȣ̃ τῆς διδασκαλίας ἔργȣ συλλήπτορα, ὅ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σῳ καὶ Θεῷ πλησιάζοντα ἐκτὸς τῆς σαρκὸς, ἀνυσιμωτέραν ἔχειν τὴν παῤῥησίαν. ἐπεὶ δὲ καιρὸς ἦν Μεθοδίῳ τὴν ἐπὶ τὴν τῆς χώρας ταύτης ἐπισκοπὴν ἀπιδεῖν, περιχυθεὶς τὸ μνῆμα τȣ͂ ἀδελφȣ͂, ϗ θαμινὰ τὸ φίλον ὄνομα, τὸν Κύριλλον, ἀνακαλεσάμενος, ϗ τὴν σωματικὴν μὲν ἐρημίαν ἀνακλαυσάμενος, τὴν δὲ τῶν πρεσβειῶν χεῖρα εἰς βοήθειαν ἐπικαλεσάμενος ὁδȣ͂ σὺν τοῖς μαθηταῖς εἴχετο. ὡς δὲ τὸν Μόραβον καταλάβοι, αὐτὸ τȣ͂το ἐπίσκοπος ἦν. ὅσα παρὰ Παύλȣ χρώματα τῇ τȣ͂ ἐπισκόπȣ εἰκόνι ἐπεβλήθησαν, ἑαυτῷ ἐνεπιδεικνύμενος, ϗ πάντων προλάμπων τὸ διδακτικὸν, ȣ̓ γὰρ κατορύξας τὸ τάλαντον, ȣ̓δὲ τὴν χάριν ἀπεμπωλήσας τȣ͂ πνευματικȣ͂ δώρȣ, τὴν ἀρχὴν, τρυφῆς ἀρχὴν ἐποιήσατο. ἀλλὰ πᾶσιν ἐκοινȣ͂το τὸ ἀγαθὸν, ἀνατέλλων ἐπίσης τȣ͂ λόγȣ τὸν ἥλιον, καὶ περὶ τὸ διδόναι μὴ ἐνδιδȣ̀ς τὸ εὐαγγελίȣ σιτομέτριον. ὃς γὰρ καὶ πρὸ τῆς ἐπισκοπῆς ȣ̔́τω τῷ λόγῳ τῆς διδασκαλίας προσέκειτο, ϗ ταῦτα μὴ ἐγκινδυνεύων τῷ πράγματι, πῶς ὅταν ἐπιϛεύθη τὸ ἔργον καὶ τὴν παρακαταθήκην ἔλαβε, ϗ τὸ ȣ̓ καὶ ἤδη τῷ ἀποϛόλῳ μὴ εὐαγγελιζομένῳ ἀποκληρȣ́μενον, ȣ̓κ ἔμελλεν τῆς διδασκαλίας ἀνθέξεσθαί τε καὶ περιέξεσθαι, ϗ ὅλην τὴν ἡμέραν, μελέτην ἔχειν τὰ θεῖα λόγια, ὑπὲρ μέλι καὶ κηρίον αὐτῷ ταττόμενα τὴν γλυκύτητα; ἀμέλει καὶ τῷ τότε ἄρχοντι Μοράβȣ Ῥασισθλάβῳ καθ᾽ ἑκάϛην ȣ̓ διέλιπε παραινῶν, καὶ ταῖς θείαις ἐντολαῖς, ῥυθμίζων αὐτῷ τὴν ψυχήν. ἀλλὰ καὶ τὸν τῆς Πανονίας συμπάσης κρατοῦντα, Κοτζέλης ὄνομα τȣ́τῳ, παιδεύων ἦν καὶ νȣθετῶν τῷ φόβῳ κυρίȣ καθηλῶσθαι, ϗ τȣ́τῳ ἐκκλίνειν ἀπὸ παντὸς κακȣ͂, οἷόν τινι χαλινῷ ἀνακρȣόμενον ϗ ἀναϛελλόμενον. ȣ̓μὴν ἀλλὰ καὶ τὸν τῶν Βȣλγάρων ἄρχοντα Βορίσην, ὃς ἐπὶ τȣ͂ τῶν Ῥωμαίων Βασιλέως Μιχαὴλ ἦν, ϗ τȣ͂τον ὁ μέγας Μεθόδιος καὶ πάλαι

μὲν

μὲν τέκνον ἐποιήσατο, ϗ τῆς οἰκείας γλώττης, τῆς πάντα καλῆς ἐξηρτήσατο, καὶ τότε δὲ ταῖς τῶν λόγων εὐεργεσίαις ἀδιαλείπτως εἷλε δωρȣ́μενος. ἦν γὰρ ὁ Βορίσης ȣ῟τος, ϗ ἄλλως γνώμης δεξιᾶς καὶ τȣ῀ ἀγαθȣ῀ δεκτικῆς. ἐφ' οὗ ϗ τὸ τῶν Βȣλγάρων ἔθνος τȣ῀ θείȣ τε καταξιȣ῀σθαι βαπτίσματος, ϗ χριςιανίζειν ἤρξαντο. ὅτε δὴ καὶ οἱ ἅγιοι ȣ῟τοι Κύριλλος φημὶ καὶ Μεθόδιος, τὸ πλῆθος τῶν πιςευόντων ἰδόντες, καὶ ὡς πολλὰ μὲν τέκνα γενῶνται δἰ ὕδατός τε καὶ πνεύματος, ϗ τροφῆς δὲ πάντως πνευματικῆς δέονται, γράμματα ἐξεύροντο καθὸ προειρήκαμεν, ϗ τὴν τῶν γραφῶν ἐπὶ τὸ Βȣλγαρικὸν μετάθεσιν ἐποιήσαντο, ἵνα τὰ γεννηθέντα τέκνα τȣ῀ Θεȣ῀, ϗ θείας τροφῆς ἱκανῶς ἔχειεν, ϗ εἰς αὔξησιν πνευματικὴν, εἰς μέτρον ἡλικίας τȣ῀ Χριςȣ῀ ἀνατρέχοιεν. ϗ ȣ῟τω, τῆς σκυθικῆς πλάνης τὸ Βȣλγάρων ἔθνος ἀπαλλαγὲν, τὴν ἀληθινὴν καὶ ἀπλανεςάτην ὁδὸν, τὸν Χριςὸν ἐπέγνωσαν, ὀψὲ μὲν καὶ περὶ τὴν ἑνδεκάτην ἢ δωδεκάτην, τὸν θεῖον δ' οὖν ἀμπελῶνα εἰσεληλυθὸς, τῇ τȣ῀ καλέσαντος χάριτι. ἐν ἔτει γὰρ ἑξακιςχιλιοςῷ τριακοσιοςῷ ἑβδομηκοςῷ ἑβδόμῳ τῆς τȣ῀ κόσμȣ γενέσεως ἡ τȣ́τȣ τȣ῀ γένȣς κλῆσις γεγένηται. ȣ̓κ ἔληγεν οὖν ὁ μέγας Μεθόδιος πᾶσαν νȣθεσίαν τοῖς ἄρχȣσι προσάγων ἑκάςοτε, ϗ τȣ῀το μὲν πρὸς βίον σεμνὸν ὁδηγῶν, τȣ῀το δὲ τὸ τῆς ἐκκλησίας ἀπαραποίητον δόγμα παρατιθεὶς οἷόν τι νόμισμα βασιλικὸν ϗ ἀκίβδηλον, ϗ ταῖς ψυχαῖς αὐτῶν ἐνσφραγίζων ἀνεπιβȣ́λευτόν τε καὶ ἄσυλον· ἦσαν γὰρ ἦσαν οἱ τȣ῀το καὶ τότε παραχαράττοντες, καὶ μετακινοῦντες ὅρια, ἃ οἱ πατέρες ἡμῶν τῇ ἐκκλησίᾳ τȣ῀ Θεȣ῀ ἔθεντο, καὶ τῇ ὑπὸ τῶν φράγγων εἰσαγομένῃ παραφθορᾷ, πολλοὶ τὰς ψυχὰς ἐβλάπτοντο, οἳ τὸν μὲν Υἱὸν γεννηθῆναι ἐκ τȣ῀ Πατρὸς, τὸ δὲ Πνεῦμα ἐκ τȣ῀ Υἱȣ῀ ἐκπορεύεσθαι διετείνοντο, οἷς ὁ ἅγιος ἀνθιςάμενος, τȣ῀το

μὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὲν ἐκ τῶν τȣ̃ Κυρίȣ λόγων, τȣ̃το δὲ ἐκ φωνῶν πατρικῶν, λογισμȣ̀ς καθῄρει, ϗ πᾶν ὕψωμα τȣ́των κατὰ τῆς θείας γνώσεως ἐπαιρόμενον. πολλȣ̀ς δὲ καὶ ᾐχμαλώτιζεν εἰς τὴν ὑπακοὴν τȣ̃ Χριςοῦ, μετατιθεὶς ἀπὸ τῆς πλάνȣ Δόξης, ἐπὶ τὴν ἀληθῆ καὶ ἀμώμητον. ϗ τιμίȣς ἐξάγων ἐξ ἀναξίων, ϗ διὰ τȣ̃το ςόμα Θεȣ̃ καὶ γενόμενος, ϗ λεγόμενος. ὅθεν τοῖς πιςοῖς καθ᾽ ἑκάςην πλατυσμὸς ἐπεγίνετο, ϗ ὁ λόγος τȣ̃ Θεȣ̃ ηὔξανεν. ὃ περὶ τῆς τῶν Ἀποςόλων διδαχῆς Λȣκᾶ λέγοντος ἀκηκόαμεν. εἰβȣ́λει δέμοι ἐκεῖνο τὸ παλαιὸν, ὁμὲν οἶκος Δαβὶδ ἐπορεύετο, ὁδὲ οἶκος Σαȣ̀λ ὑπεπόδιζε, καθ᾽ ἑκάςην ἐλαττονȣ́μενος. τὸ δὲ τῶν αἱρετικῶν σύςημα, τῇ τȣ̃ λόγȣ δυνάμει καὶ τῇ ἀληθείᾳ νικώμενον, ὃ μόνον ἐδύναντο, μᾶλλον δὲ παρὰ τȣ̃ Πατρὸς αὐτῶν ὑπεβάλλοντο, τȣ̃ ἐξαρχῆς ἀνθρωποκτόνȣ, ϗ τῷ κακοποιεῖν ἐγκαυχωμένȣ, τȣ̃το δὴ καὶ εἰργάζοντο, μυρίαις κακώσεσι καὶ πειρασμοῖς τὸν ἅγιον θλίβοντες. ἐπεὶ καὶ τὸν Σφεντόπλικον, ὃς μετὰ Ῥασίσθλαβον ἦρξε Μοράβου περιελθόντες ἀπάτῃ, βάρβαρον ἄνδρα καὶ τȣ̃ καλȣ̃ ἀνόνητον, ὅλον τῆς δόξης ἑαυτῶν ἐποιήσαντο. τίδε ȣ̓κ ἔμελλεν ἐκεῖνος, ἀνδράποδον ἡδονῶν γυναικείων ὢν, καὶ τῷ βορβόρῳ τῶν μυσαρῶν ἐγκυλιόμενος πράξεων, ἐκείνοις μᾶλλον διδόναι τὴν οἰκείαν γνώμην, τοῖς θύραν αὐτῷ πρὸς τὰ πάθη πᾶσαν ἀνοίγȣσιν, ἢ Μεθοδίῳ τῷ πάσης ἡδονῆς πικρίαν ψυχόλεθρον ςηλιτεύοντι; ὅπερ γὰρ Εὐνόμιος ἐκεῖνος. ὁ τῆς τῶν ἀνομοίων ἄρξας αἱρέσεως ἐξεῦρε πρὸς τὸ μαθητὰς ἐπισπᾶσθαι πλείονας, τȣ̃το δὴ καὶ τὸ φραγγῶν ἔθνος ἀνόητον ἐπενόησε, τὸ τῆς ἁμαρτάνȣσι φημὶ πάντα συγχωρεῖν ἀπόνως οὕτω καὶ ἀταλαιπώρως, ὑπὲρ ἑνὸς τȣ̃ τοῖς ἑαυτῶν συντίθεσθαι δόγμασι, καὶ βίον ῥυπαρὸν ἐνδιδόναι ὑπὲρ τȣ̃ δόγμα ςρεβλὸν κερδῆσαι ὥσπερ ἂν εἴτινες ἀλλήλοις ἀντιδιδοῖεν, ὁ μὲν, κοπρίαν, ὁ δὲ, βόρ-

βορον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βορον ἀξιοῖτε τῶν τοιούτων ἐκεῖνοι θησαυρισμάτων τῆς πραγματείας, ἐν ᾗ καὶ τὸ ἐμπόρευμα ῥυπαρὸν, καὶ τὸ ἀντάλλαγμα βδελυρόν. ὑπὸ τούτων οὖν ὁ Σφεντόπλικος διαφθαρεὶς τῶν πάντα χαριζομένων αὐτῷ, τοῖς Μεθοδίου λόγοις ἐλάχιστα προσεῖχε τὸν νοῦν· τοὐναντίον μὲν οὖν καὶ ὡς ἐχθρῷ προσεφέρετο. βδέλυγμα γάρ φησιν ἁμαρτωλῷ θεοσέβεια. καὶ τί μεν οὐκ ἔλεγεν ἱλαρὸν, τί δε οὐκ ἠπείλει φοβερὸν ὁ μέγας τῷ ἄρχοντι; τοῦτο μὲν ἀπὸ τῶν θείων γραφῶν, τὴν τοῦ δόγματος εἰσάγων ὀρθότητα, καὶ ταύταις προσέχειν ὡς τὴν ζωὴν προξενούσαις καὶ πηγαῖς οὔσαις τοῦ σωτηρίου, διατατττόμενος. ὅ,τε γὰρ κύριος, ἐν τῇ ἐρεύνῃ τῶν γραφῶν, τὴν ζωὴν κεῖσθαι ἐδίδαξεν. Ἠσαΐας τε ἀντλεῖν ἡμῖν ὕδωρ οὐκ ἐκ τοῦ τῶν αἱρέσεων βορβόρου, ἀλλ᾽ ἐκ τῶν πηγῶν τοῦ σωτηρίου ἐντέλλεται, τοῦτο δὲ καὶ ἐκφοβῶν, ὡς εἰ τοῖς αἱρετικοῖς πρόσθηται, καὶ ἑαυτὸν διαφθερεῖ, καὶ πάντας τοὺς ὑπ᾽ αὐτὸν, τοῖς ἐχθροῖς γινόμενος εὐεπιχείρητος καὶ εὐχείρωτος. δυσέβεια γὰρ κἂν πρὸς ὀλίγον ἀνθῇ, ἀλλὰ τῷ χρόνῳ περὶ αὐτὴν καταῤῥεῖ, ἵνα μὴ κακίαν εὐσεβεῖς μάθωσι. καὶ ταῦτα ἔλεγε μετὰ τὴν αὐτοῦ τελευτὴν τῷ ἄρχοντι προσγενήσεται. ἅπερ οὖν καὶ κατὰ τὰς τοῦ ἁγίου προῤῥήσεις γέγονε. καὶ γὰρ ἕως μὲν Μεθόδιος τοῖς ζῶσιν ἐξεταζόμενος ἦν, οὔτε ὁ ἄρχων τὴν ὠδῖνα τῆς καρδίας ἐξέῤῥηξεν, ἀλλ᾽ εἶχεν τὸν βασιλίσκον τοῖς ὠοῖς τῶν ἀσπίδων ἐγκρυπτόμενόν τε καὶ ἐντρεφόμενον, οὔτε ἡ δίκη τὴν οἰκείαν ἐπήγαγε μάστιγα. ἀλλ᾽ εἶχε μὲν ἐντεταμμένον τὸ τόξον, καὶ τὴν ῥομφαίαν ἔστιλβου, οὔπω δὲ βέλος ἀπέστελλεν· ἐν καρδίᾳ τοῦ ἐχθροῦ, οὐδὲ τὴν χεῖρα τῇ πληγῇ ἐπεστήριζεν. ἐπεὶ δὲ ὅτε ὁ Ἅγιος ἀπῆν, καὶ ἡ κακία πᾶσα παρῆν, οὐχ᾽ ὑπὸ παραπετάσματι, καὶ προσωπείῳ τὴν ἀσχημοσύνην καλύπτουσα, ἀλλὰ κατὰ τὴν τῆς πόρνης ὄψιν ἀναισχυντήσασα, καὶ διωγμὸν κατὰ τῶν

ὀρθο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὀρθοδόξων ἐγείρασα, τότε δὴ καὶ Θεὸς τὸν ἄρχοντα ποινηλατῶν ἐκ ἐνέλειψεν. ἀλλὰ ταῦτα μὲν ὕςερον. τότε δὲ Μεθόδιος τῷ ἄρχοντι προεῖπε τὴν οἰκείαν τελευτὴν, μετὰ τρεῖς ἐσομένην ἡμέρας, τῶν συχνῶν παραινέσεων τὴν πρόῤῥησιν ταύτην, βεβαίωσιν ὡς ἐγὼ κρίνω, ποιέμενος. εἰ γὰρ ἡ πρόῤῥησις. προφήτην αὐτὸν ἐποίει εἰς ἔργον ἐκβᾶσα, καὶ τῶν μελλόντων τὴν προοψίαν λαχόντα τῷ Πνεύματι, πρόδηλον ὡς ϗ τὸ παρὰ τέτε συνεργέμενον δόγμα πνευματικὸν ϗ θεόπνευςον. ϗ τὲς ὁμιλητὰς αὐτῆ συγκαλέσας, μιμεῖται Παῦλον, μᾶλλον δὲ τὸν ἐμὸν Ἰησῦν, καὶ τοῖς ἐξιτηρίοις αὐτὲς παρακαλεῖ καὶ ςηρίζει ῥήμασι, καλόν γε κλῆρον τοῖς παισὶν ἐκεῖνος διατυπέμενος, ϗ τῶν καμάτων ἐπάξιον ὧν ἠνέσχετο, ἵνα τὴν τοιαύτην περιεσίαν ἑαυτῷ κτήσηται. τίς ὁ κλῆρος τάχα ποθεῖτε μαθεῖν; τὰ τῦ Θεῦ λόγια, τὰ ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν, ϗ ἡ σοφία, ἣν κρεῖττον ἐμπεπορεῦσθαι, ἢ χρυσίε ϗ ἀργυρίε θησαυρὲς. οἴδατε γάρ φησιν ὦ σπλάγχνα ἐμὰ τὴν τῶν αἱρετικῶν ἐν κακίᾳ δύναμιν, καὶ ὅπως δολοῦντες τὸν λόγον τῦ Θεοῦ πάντα τρόπον, τὲς πλησίον ἀνατροπὴν θολερὰν ποτίζειν σπεδάζουσι, δύο ταῦτα προσλαμβανόμενοι καὶ προσάγοντες, πιθανότητά τε καὶ αὐςηρότητα, τὴν μὲν, τοῖς ἁπλεςέροις, τὴν δὲ, τοῖς δειλοτέροις, ἀλλ᾽ ὑμῖν ἀμφοτέρωθεν καλῶς ἔχειν τὰς ψυχὰς ἐλπίζω καὶ εὔχομαι. οὔτε γὰρ πιθανότητι λόγων παρασυρήσεσθε, ϗ διὰ τῆς κενῆς ἀπάτης συλαγωγηθήσεσθε. τεθεμελίωσθε γὰρ ἐπὶ τὴν τῆς ἀποςολικῆς ὁμολογίας ϗ διδασκαλίας πέτραν, ἐφ᾽ ἣν τῆς ἐκκλησίας ᾠκοδομημένης, πύλαι ᾅδε ἐ κατισχύσεσι. πιςὸς γάρ ἐςιν ὁ ἐπαγγειλάμενος, ἔτε φοβερῷ τινὶ τοὺς τῶν καρδιῶν πύργες διασειθήσεσθε. ἐμάθετε γὰρ, μὴ φοβεῖσθε ἀπὸ ὕψες ἡμέρας, μηδὲ ἀπὸ τῶν ἀποκτεινόντων

τὸ

τὸ σῶμα τὴν δὲ ψυχὴν μὴ δυναμένων κακῶσαι. μᾶλλον μὲν οὖν τοὺς ἄλλους ἐπιστηρίζεσθε φυλάττειν τὴν παρακαταθήκην, ἣν παρὰ τῶν Ἀποστόλων ϗ τῶν κατὰ καιροὺς Πατέρων ἐλάβομεν, ἣν ἀπαιτήσουσιν ἡμῖν ἐν ἡμέρᾳ ἀνταποδόσεως. ἰδοὺ προεῖπον ὑμῖν, ϗ ἁμαρτίας ἐνόχους διὰ τοῦ προειπεῖν ἐποίησα. εἰμὴ γὰρ ἦλθον φησὶ καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. ἀθῷος εἰμὶ ἐκ τοῦ αἵματος ὑμῶν. οὐ γὰρ ὑπεστειλάμην τοῦ λαλῆσαι ὑμῖν, ἀλλὰ τῷ τοῦ σκοποῦ ἔργῳ κατὰ τὸν Ἰεζεκιὴλ ἐπηγρύπνησα, βλέπετε πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλ᾽ ὡς σοφοί. καὶ πάσῃ φυλακῇ τὰς ὑμῶν τε αὐτῶν ϗ τὰς τῶν ἀδελφῶν καρδίας τηρήσατε. ἐν μέσῳ γὰρ παγίδων διαβήσεσθε, ϗ ἐπὶ ἐπάλξεων πόλεων περιπατήσετε. καὶ γὰρ μετὰ τὴν ἐμὴν τελευτὴν εἰσελεύσονται λύκοι βαρεῖς μεθ᾽ ὑμῶν, μὴ φειδόμενοι τοῦ ποιμνίου τοῦ ἀποσπᾷν τὸν λαὸν ὀπίσω αὐτῶν, οἷς ἀντίστητε στερεοὶ τῇ πίστει. ὁ Παῦλος ὑμῖν ταῦτα δι᾽ ἐμοῦ διατίθεται. ὁ δὲ ἐπὶ πάντα Θεὸς καὶ Πατὴρ, καὶ ὁ ἐξ αὐτοῦ πρὸ αἰώνων γεννηθεὶς ἀπαθῶς Υἱὸς, ϗ τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν, καὶ ἀμέμπτους παραστήσει εἰς καύχημα ἐμὸν, εἰς ἡμέραν Χριστοῦ. ταῦτα καὶ πλείω τούτων εἰπὼν, τὸ πνεῦμα τοῖς δορυφορήσασιν αὐτὸν ἀγγέλοις, ϗ ἐν πάσαις ταῖς ὁδοῖς φυλάξασιν, ἄγειν δέδωκε. τέταρτον μὲν πρὸς τῷ εἰκοστῷ ἔτος τῇ ἀρχιερωσύνῃ ἐμπρέψας, πολλῷ δὲ μόχθῳ καὶ κόπῳ οὐ τὴν ἑαυτοῦ μόνον, ἀλλὰ καὶ τὴν τῶν ἄλλων σωτηρίαν κατεργασάμενος· οὐ γὰρ ἐσκόπει τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. ϗ νυκτὸς καὶ ἡμέρας τοῦτο ζῶν μόνον, ὃ τοὺς ἄλλους ὠφέλει. δηλοῖ δὲ καὶ τὸ πλῆθος τῶν τε πρεσβυτέρων, καὶ διακόνων, ϗ ὑποδιακόνων, οὓς τελευτῶν, διακοσίους τῇ ἐνορίᾳ τῆς οἰκείας ἐκκλησίας ἐ-

γκα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γκατέλιπεν. εἰ γὰρ οἱ τȣ̃ βήματος μόνοι, τοσȣ̃τοι, πόσον εἶναι τῶν λαϊκῶν τὸ πλῆθος εἰκάσωμεν. ἐφέρετο δὲ ἄρα τȣ́των τὴν πρώτην Γοράσδος, ὃν καὶ προφθάσας ὁ λόγος, ἐν τοῖς μάλιςα τῶν Μεθοδίȣ ὁμιλητῶν ἀπηρίθμησεν, ὃς ϗ ἀρχιεπίσκοπος Μοράβȣ παρ᾽ αὐτȣ̃ τȣ̃ ἁγίου τὰ τελευταῖα γνόντος ἀνακεκήρυκτο. ἀλλὰ γὰρ ȣ̓κ ἤνεγκεν ἡ πάντολμος πληθὺς τῶν αἱρετικῶν, τὸν Μεθόδιον ἔχειν καὶ μετὰ θάνατον ζῶντα ἀντίμαχον, δεῦτε εἰπόντες Γοράσδον καταδυναςεύσωμέντε καὶ ἐνεδρεύσωμεν· ἀνόμοιός γάρ ἐςιν ἡμῖν ὁ βίος αὐτȣ̃, καὶ παρηλλαγμέναι αἱ τρίβοι αὐτȣ̃, καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα. ϗ εἰ ζῆν ȣ̃τος ἐαθείη, ἀναβιώῃ ἂν ἡμῖν ὁ Μεθόδιος, τȣ̃τον μὲν τῆς ἐπισκοπικῆς ἀρχῆς παραλύȣσιν, Βιχνῖκον δέ τινα τοῦ τῆς αἱρέσεως ἀκράτȣ μεθυσθέντα, καὶ τȣ̀ς ἄλλȣς μεθύσκειν δυνάμενον, ϗ μέντοι διὰ τȣ̃το παρὰ τȣ̃ Μεθοδίȣ τῷ τȣ̃ ἀναθέματος Σατανᾷ παραδοθέντα μετὰ τȣ̃ θιάσȣ τῶν σὺν αὐτῷ μαινομένων, τȣ̃τον, ὢ πόνοι καὶ ἀγῶνες τȣ̃ Μεθοδίȣ, ϗ Τριὰς συγχεομένη τὰς ἰδιότητας! ἐπὶ τὸν θρόνον ἀνάγουσι, μᾶλλον δὲ τὸν θρόνον διὰ τȣ̃τον κατάγȣσιν, ϗ ὅσον διὰ Μεθόδιον ἔνδοξος ἦν, ϗ τῶν πολλῶν προφαινόμενος, τοσȣ̃τον διὰ Βιχνῖκον τῇ τῆς ἀδοξίας κοιλάδι ἐπικλινόμενος. ἀλλ᾽ ὁμέν, ȣ̃τω τῆς ἐπισκοπῆς παρανόμως καὶ μηδὲν αὐτῷ προσῆκον ἐδράξατο, ἑαυτῷ λαβὼν τὴν τιμὴν καὶ ἁρπαγμὸν ἡγησάμενος, τὸν δὲ ἀπὸ Θεοῦ κληθέντα, τυραννίδι βραχίονος ἁμαρτωλȣ̃ παραγκωνισάμενος. κεφαλὴν δὲ ἡ αἵρεσις αἴρει, ϗ κατὰ τῆς ὀρθοδοξȣ́σης πληθύος τῶν Μεθοδίȣ μαθητῶν γαυριᾷ. ϗ δὴ θορυβήσαντες, ϗ τοῖς πιςοῖς ἐπαναςάντες, διατί φασιν ἔτι τοῖς Μεθοδίȣ λόγοις τοῖς ὀδωδόσι, ϗ νεκροῖς εὐνȣ́ςερον προσδιάκεισθε, ἀλλὰ μὴ τῷ ζῶντι ἀρχιεπισκόπῳ συνίςασθε, καὶ ὁμολογεῖτε ἐκ Πατρὸς Υἱὸν γενηθέντα, ἐξ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Υἱοῦ τὸ Πνεῦμα ἐκπορευόμενον. οἶδε διὰ Γοράσδυ καὶ Κλήμεντος ἔφασαν, ὅτι μὲν Μεθόδιος ἔτι ζῇ, τῦ κυρίου, πάντως ἐμάθομεν, ποτὲ μεν, τὸν εἰς αὐτὸν πιςεύσαντα, κἂν ἀποθάνῃ ζήσεσθαι φάσκοντος, ποτὲ δὲ διδάσκοντος τὸν Θεὸν τῷ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ ὡς ζῶσιν, ἀλλ' ὐ νεκροῖς ἐπιλέγεσθαι. τί γοῦν ἁμαρτάνομεν εἰ τὸν ἐν Θεῷ ζῶντα, διδάσκαλον ἔχομεν πνευματικῶς ἡμῖν συνόντα, καὶ συλλαλῦντα, καὶ καθ' ὑμῶν συνεπιῤῥωννύοντα. τὴν δὲ καινὴν ταύτην πίςιν ὑμῶν οὔτε ὑπὸ γραφῆς μαρτυρυμένην οἱασοῦν εὑρόντες, ὔθ' ὑπὸ πατέρων ἁγίων συντεθειμένην, ὀκνῦμεν ὑποβαλεῖν ἑαυτὺς ἀναθέματι, τοῦ Παύλυ διαῤῥήδην βοῶντος, εἴτις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔςω. ἡμεῖς γὰρ Πνεῦμα μὲν Υἱοῦ, ἐπεὶ καὶ Πνεῦμα ζωῆς καὶ ἀληθείας, ἃ ὁ Υἱὸς, καὶ νῦν Χριςῦ, τὸ Πνεῦμα πιςεύομεν. ἐξ Υἱῦ δὲ τῦτο προερχόμενον, ὔτε μεμαθήκαμεν, ὔτε μαθησόμεθα, ὔτε τὴν πίςιν ἀρνησόμεθα, καὶ χείρονες ἀπίςων ἐσόμεθα. ὐ μὰ τὸν ἁγιασμὸν τῆς τῦ ἁγίυ Πνεύματος χάριτος. ἀλλ' ἐκ Πατρὸς μὲν προϊέναι τὸ Πνεῦμα, καὶ εἶναι τῦτυ αἴτιον καὶ προβολέα, τὸν τῦ Υἱῦ γεννήτορα πεπιςεύκαμεν. εἶναι δὲ καὶ τῦ Υἱῦ οἰκεῖον, καὶ δι αὐτῦ χορηγεῖσθαι τοῖς ἀξίοις ἑκάςοτε. ἕτερον δὲ τὸ ἐκπορεύεσθαι, καὶ ἕτερον τὸ χορηγεῖσθαι. τὸ μὲν, γὰρ τῦ πῶς εἶναι τὸ Πνεῦμα ἐκφαντορικόν. ὡς γὰρ ὁ Υἱὸς ἐςὶν ἐκ τῦ Πατρὸς γεννητὸς, ὕτω καὶ τὸ Πνεῦμα ἐκπορευτόν. τὸ δέ χορηγεῖσθαι, ὐτὸ πῶς εἶναι δηλοῖ, ἀλλὰ πλυτισμὸν ἐνδείκνυται καὶ διάδοσιν. καὶ ἵνα παραδείγματί τινι τὸν λόγον, ὡς ἐγχωρεῖ φωτίσωμεν. ἐννόησόν μοι βασιλέα τινὰ πλῦτον μάλα πολὺν ἐκ τῶν οἰκείων θησαυρῶν προβαλλόμενον. τῦτον δὲ τὸν Υἱὸν παραλαβόντα, οἰκειοῦντε αὐτῦ ἔχειν, καὶ διανέμειν τοῖς εὐαρεςῦσιν αὐτῷ. βασιλεὺς ὁ Πατὴρ, πλῦτος

ὡς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὡς ἐν εἰκόνι φᾶναι τὸ Πνεῦμα, ἐκ τῶν τȣ̃ Πατρὸς ἀῤῥήτων θησαυρῶν προβληθὲν, Υἱὸς βασιλέως ὁ τȣ̃ Πατρὸς Υἱὸς, ȣ̃ τὸ Πνεῦμα, καὶ δἰ ȣ̃ χορηγεῖται. ὁρᾶτε τὸ Πνεῦμα πῶς ἡμεῖς οἴδαμεν, ȣ̔ προερχόμενον, δἰ Υἱȣ̃ δὲ χορηγȣ́μενον; εἰ δὲ τὸ ἐμφυσῆσαι τὸν Υἱὸν τοῖς ἀποςόλοις καὶ εἰπεῖν, λάβετε Πνεῦμα ἅγιον, τȣ̃τό σε ταράττει, παχέως τοῖς εὐαγγελίοις ὡμίλησας. χάρισμα γὰρ τοῖς ἀποςόλοις ἓν τῶν τȣ̃ Πνεύματος δέδωκε τὸ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, ὡς δηλοῖ τοῖς ἑξῆς. πνεύματα δὲ, τὰς ἐνεργείας τȣ̃ Πνεύματος, καὶ τῷ Ἡσαΐᾳ φίλον καλεῖν. ἀλλ᾽ ȣ̓κ αὐτὸ τὸ Πνεῦμα τηνικαῦτα τοῖς Μαθηταῖς ἐχαρίσατο. δῆλον δὲ, ϗ γὰρ εἰ τότε τὸ Πνεῦμα δέδωκεν, ἢ περιττὴ λοιπὸν ἡ ἐν τῇ πεντηκοςῇ τȣ́τȣ κάθοδος, ἢ ἄλλȣ πνεύματος, εἰ μὴ περιττή. ποῖον οὖν τȣ̃το; ὡς εἶχεν ἡ ἐκκλησία, ἓν Ἅγιον πρεσβεύȣσα φαίνεται. εἰ δὲ δύο εἶεν, ὁπότερον ȣ̃ν τȣ́των ȣ̓χ᾽ Ἅγιον. εἰ τοίνυν τὸ Ἅγιον διὰ τȣ̃ ἐμφυσήματος, ϗ ὁ κύριος δέδωκεν αὐτὸ ἐκεῖνο, ἀλλ᾽ ȣ̓χ᾽ ἓν πνευματικὸν χάρισμα, τὸ κατελθὸν ἐν τῇ πεντηκοςῇ δῆλον ὡς ȣ̓χ᾽ Ἅγιον, ἀλλ᾽ εἰς κεφαλὰς ὑμῶν τὸ βλάσφημον τράποιτο. δύο δὲ ποιοῦντες ὑμεῖς ἀρχὰς, τȣ̃ μὲν Υἱοῦ τὸν Πατέρα, τȣ̃ δὲ Πνεύματος τὸν Υἱὸν, ἄλλην τινὰ μανίαν μανιχαϊκὴν μαίνεσθε. ἡμῖν δὲ, εἷς μὲν Θεὸς, μία δὲ τῶν ἐξ αὐτȣ̃ ἀρχὴ, ὁ Πατήρ. τȣ̃ μὲν Υἱȣ̃, Πατήρ· τȣ̃ δὲ Πνεύματος, Προβολεύς. ὥσπερ οὖν καὶ εἷς ἥλιος, ἀρχὴ τῆς τε ἀκτῖνος καὶ τῆς λάμψεως εἴτε θάλψεως. τῇ τοίνυν ἀκτῖνι καὶ ἡ λάμψις συνέςη εἴτε θάλψις, ὥσπερ καὶ τῷ Υἱῷ τὸ Πνεῦμα. ϗ τῆς ἀκτῖνος ἡ λάμψις ἐςὶν, ὥςπερ τὸ Πνεῦμα τȣ̃ Υἱοῦ. ἄμφω μέντοι ἐκ μιᾶς ἀρχῆς τȣ̃ ἡλίȣ. καὶ ὥςπερ ἐν τῷ ὑποδείγματι διὰ τῆς ἀκτῖνος ἡ λάμψις ἤτοι θάλψις τῷ σωματικῷ κόσμῳ δίδοται, ȣ̔́τω διὰ τȣ̃ Υἱοῦ χορηγεῖται τῇ νοητῇ κτίσει τὸ

Πνεῦ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πνεῦμα τὸ ἅγιον ἐπὶ πᾶσιν. εἰ μὲν ὡς Μανιχαῖοι τὸ κατὰ Θωμᾶν εὐαγγέλιον, οὕτως ὑμεῖς ἄλλοτε προενεγκεῖν ἔχετε τὴν τοιαύτην περὶ τοῦ Πνεύματος διδασκαλίαν εἰσηγησάμενον, δείξατε τοῦτο κεκανονισμένον καὶ σιωπήσωμεν. εἰ δὲ τέσσαρσι μὲν ἀρχαῖς ὁ τῆς ἐκκλησίας παράδεισος ἐκ μιᾶς πηγῆς χεομέναις ποτίζεται, Ματθαίῳ, Μάρκῳ, Λουκᾷ, καὶ Ἰωάννῃ, οἶμαι συνήκατε. ὁ δὲ πέμπτον εἰσάγων εὐαγγέλιον τρισκατάρατος. Ἰωάννης δὲ ἡμῖν τὸν Υἱὸν παρεισάγει λέγοντα· τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, παύσασθε καθ' ἑαυτῶν πηγνῦντες τὸ ξίφος ἐνστατικώτερον. παύσασθε τῷ Υἱῷ τοῦ Θεοῦ τῷ μεγάλῳ εὐαγγελιστῇ, καὶ ἐξ οὗ, καὶ δι' οὗ, καὶ εἰς ὃν εὐαγγέλιον πᾶν, μαχόμενοι. καὶ χωρὶς τοῦ Πνεύματος περὶ τοῦ Πνεύματος δογματίζοντες, μᾶλλον δὲ τῷ ἐναντίῳ ὑποφθεγγόμενοι πνεύματι. ἐπὶ τούτοις οὐκ ἐνεγκόντες οἱ τοῦ Βιχνίκου στασιῶται, τὰ ὦτα συσχόντες, καθάπερ οἱ Στέφανον πάλαι λιθοβολοῦντες τὸν τοῦ Λόγου γενναῖον μάρτυρα, καὶ τοῦτο μόνον καλῶς ποιοῦντες ὡς οὐκ ἄξιοι τούτων ἀκούειν, θορυβεῖν καὶ πάντα συγχεῖν ἐπεβάλλοντο, καὶ μικροῦ μὲν καὶ εἰς χεῖρας ἦλθον τοῖς ὀρθοδόξοις, τῇ γλώττῃ καταπονηθείσῃ τὴν χεῖρα διδόντες σύμμαχον. τέλος δ' οὖν ἀποπηδήσαντες, ἐπὶ τὴν τελευταίαν ἦλθον καταφυγὴν αὐτῶν, τὸν κονιορτὸν Σφεντόπλικον. καὶ διαβάλλουσι μὲν τοὺς ὀρθοδόξους ὡς νεώτερα φρονοῦντας, καὶ κατὰ τῆς ἀρχῆς αὐτῶν κινηθησομένους ἄν, εἰ μὴ περὶ τὸ δόγμα τῷ ἄρχοντι συμφωνήσαιεν. τὸ γὰρ ἀντίδοξον, καὶ ἀντίμαχον. ὁ δὲ, τοὺς τοῦ Μεθοδίου προσκαλεσάμενος, τί φησι τοῦτο τὸ σχίσμα ἐν ὑμῖν πολιτεύεται; καὶ καθ' ἑκάστην ἀλλήλοις πολεμίως συμπλέκεσθε; οὐκ ἀδελφοὶ πάντες ἐστέ; ἀδελφὰ οὖν φρονεῖτε ἀλλήλοις, καὶ τὴν ἕνωσιν ἐπισπεύδετε. οἱ δὲ, ὅσα στόματι



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Γαράσδῳ καὶ Κλήμεντι χρώμενοι (οὗτοι γὰρ ἦσαν οἱ τοῦ λόγου ἡγούμενοι) ἔδει μὲν περὶ τούτων ἔφασαν ὦ ἄρχων, μακρὴς ἡμᾶς ποιεῖσθαι τοὺς λόγους. οὐ γὰρ περὶ ἐλαχίστων οὐδὲ περὶ τὰ ἐλάχιστα ἡμῖν ὁ κίνδυνος ἵσταται, ἀλλὰ περὶ δόγματος μὲν ἐκκλησιαστικοῦ, τοῦ περὶ τῆς μακαρίας Τριάδος. περὶ δὲ ψυχὴν, τὸ πάντων ἡμῖν οἰκειότατον. ἐπεὶ δέ σοι τὸ τῶν γραφῶν ἀνομίλητον μακροτέρων λόγων ἢ βαθυτέρων ἀκούειν οὐ δίδωσιν, ἁπλοῦς ἡμῖν ὁ πρὸς τὴν σὴν ἐρώτησιν λόγος. ὅτι σχιζόμεθα μὲν, ἐπειδὴ καὶ ὁ κύριος μάχαιραν ἦλθε βαλεῖν καὶ διχάσαι τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος· καὶ τοῦ δαβὶδ ἀκούομεν, μισοῦντος τοὺς μισοῦντας τὸν κύριον· λίαν δὲ τιμῶντος τοὺς φίλους Χριστοῦ. χριστιανοὺς δὲ, οὐκ ἄν ποτε ἡμεῖς θείημεν τοὺς μὴ παραδεχομένους τὸ εὐαγγέλιον. ἐκεῖ γὰρ τοῦ ἑνὸς τῆς Τριάδος Υἱοῦ τοῦ Θεοῦ εἰπόντος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. οὗτοι φασὶν ἐκ τοῦ Υἱοῦ ἐκπεπορεῦσθαί τὸ Πνεῦμα. καίτοι πάντως εἰ τοῦτ' ἦν, τί τὸ κωλύον τὸν κύριον εἰπεῖν τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρ' ἐμοῦ ἐκπορεύεται; ἓν μὲν οὖν τοῦτο. τὸ δεύτερον δὲ, ἡ ἐν Κωνσταντινουπόλει δευτέρα τῶν ἐκ πάσης τῆς οἰκουμένης ἀθροισθέντων ἀρχιερέων σύνοδος, περὶ τοῦ ἁγίου Πνεύματος ἀπεφήνατο. ἐπεὶ καὶ τούτου χάριν συνήθροιστο ἐπὶ καθαιρέσει τοῦ πνευματομάχου Μακεδονίου. ἐξέθετό τε πίστεως σύμβολον οὐκ ἐπ' ἀνατροπῇ, τοῦ ὑπὸ τῆς ἐν νικαίᾳ συνόδου τεθεσπισμένου, ἀλλ' ὅπερ ἐκείνη ἐνέλιπεν, οἷα δὴ μὴ κινηθέντων τότε τῶν περὶ τοῦ Πνεύματος ζητημάτων, τοῦτο αὕτη ἀναπληροῦσα καὶ σώζουσα τὸ τῆς μητρὸς ἡ θυγάτηρ ὑστέρημα. ἴδωμεν οὖν ἐν τούτῳ τῷ συμβόλῳ ὃ καθ' ἑκάστην ἐπ' ἐκκλησίας ἐκφωνεῖς ὦ ἄρχων, καὶ σὺ ἐκ τῶν γραικῶν βιβλίων μεταληφθὲν, πότερον πιστεύειν εἰς πνεῦμα τὸ ἐκ τοῦ υἱοῦ ἐκπορευόμενον, ἢ τὸ ἐκ τοῦ Πατρὸς ὁμολογούμενον; πῶς τοίνυν

συμ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συμφωνήσωμεν τοῖς παρὰ τὸ εὐαγγέλιον φρονοῦσι, καὶ τὴν μετὰ τοῦ Πνεύματος τῶν πατέρων ἔκθεσιν, τοῖς ἀπὸ γῆς φωνοῦσι κατὰ τὰς ἐγγαστριμύθους. τίς κοινωνία φωτὶ πρὸς σκότος; φησὶν ὁ θεῖος ἀπόστολος. εἰ μὲν οὖν μεταβάλωνται τὰς γνώμας καὶ μετὰ τοῦ εὐαγγελίου καὶ τῶν πατέρων στήσονται, ὡς ἀδελφοῖς προσδραμοῦμεν, καὶ περιπλακησόμεθα, καὶ περιπτυξόμεθα. εἰ δὲ τὸν ἕνα καθηγητὴν ἡμῶν τὸν Χριστὸν ἀποποιούμενοι ὀπίσω τῆς διανοίας αὐτῶν πορεύονται, καὶ ἐν τοῖς διαλογισμοῖς αὐτῶν ματαιοῦνται, σχολῇ γ᾽ ἂν ἡμεῖς ὑπ᾽ αὐτοῖς καθηγηταῖς τὸ περὶ τῆς Τριάδος δόγμα μαθεῖν δεξόμεθα. ταῦτα ἡ περὶ τοὺς ὀρθοδόξους πληθὺς, προηγόροις Γοράσδῳ καὶ Κλήμεντι χρώμενοι. ὁ δὲ ἄρχων μόλις μὲν συνῆκεν ὀλίγα τινὰ τῶν λεχθέντων. ἦν γὰρ παντάπασι γνῶναί τι τῶν θείων ἠλιθιώτατος. ἅμα μὲν ὡς ἀνηγμένος βαρβαρικώτερον καὶ συνόλως εἰπεῖν ἀλογώτερον. ἅμα δὲ καὶ τὸν νοῦν ὑπὸ τῆς μικρᾶς ἡδονῆς, παρασεσυλημένος ὡς εἴρηται. πῶς γὰρ καὶ ἔμελλε τοῖς περὶ Τριάδος λόγοις ἐμβῆναι ἄνθρωπος, πάμπολυ τοῦ τῆς σωφροσύνης ἀπέχων ἁγιασμοῦ, οὗ χωρὶς οὐδεὶς τὸν κύριον ὄψεται; ὑπὸ δὲ τῶν αἱρετικῶν προβιβασθεὶς, ἦν γὰρ ὅλως αὐτοῖς προσκείμενος. τοιάνδε τοῖς ὀρθοδόξοις ἀπόφασιν δέδωκεν. ἐγὼ μὲν ἐμαυτῷ πολὺν τὸν ἰδιωτισμὸν σύνοιδα, καὶ ἁπλοῦς εἰμὶ τὰ δογματικά. καὶ τί γὰρ ἢ ἀγράμματος; τοῦ μέντοι χριστιανισμοῦ μεταποιοῦμαί τε καὶ μεταποιήσομαι. ἀμφιβολίας δὲ τοιαύτας οἵας ὑμεῖς ἀνεγείρετε, λύειν οὐχ ἱκανὸς ἐγὼ διὰ λόγων, οὐδὲ διακρίνειν ὀρθοδόξου ψευδοδιδάσκαλον. ὡς οὖν χριστιανὸς δικάσω ὑμῖν· ἀμέλει καὶ περὶ τούτου τοῦ δόγματος ἀποφαίνομαι ὡς καὶ περὶ τῶν ἄλλων ἀποφαίνεσθαι εἴθισμαι. ὃς ἂν παριὼν πρῶτος ὀμόσειεν. ὡς καλῶς καὶ ὀρθοδόξως πιστεύει, τοῦτον εἶναι τὸν κατὰ τὴν ἐμὴν κρίσιν μηδέν τι τοῦ ἀκριβοῦς περὶ τὴν πίστιν σφαλλόμενον,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νον, τούτῳ καὶ τὴν ἐκκλησίαν ἐπιδώσω, κατὰ τὸ εἰκὸς πρεσβυτέριον. οἱ τοίνυν φράγγοι, προθυμότατα περὶ τὸν ὅρκον διατεθέντες, οὐδὲ τὸ τέλος τῆς τοῦ ἄρχοντος αναμείναντες ἀποφάσεως, ὤμοσαν καὶ ἔστησαν τὴν κακοδοξίαν αὐτῶν, ἀνοήτῳ κρίσει, πέρας ἐπιθέντες κατάλληλον. παρὰ τοιούτοις κριταῖς ἡ αἵρεσις κατὰ τῆς ὀρθοδοξίας ἐστεφανώσατο. καὶ πᾶσαν ἔσχεν ἐξουσίαν ἄγειν καὶ φέρειν τοὺς χριστοῦ γνησίους δούλους, καὶ τῆς πίστεως φύλακας. εἰ γάρ τις φησὶ φωραθείη μὴ πιστεύων κατὰ τὴν τῶν φράγγων ἔκθεσιν, αὐτοῖς ἐκείνοις παραδοθήσεται χρησομένοις ὅ,τι καὶ βούλονται. τὰ ἐπὶ τούτοις, τίς ἂν ἐκδιηγήσαιτο λόγος, ὅσα κακία λαβομένη δυναστείας εἰργάσατο. πῦρ ἀτεχνῶς ἐν ὕλῃ, πνεύματι ῥιπιζόμενον. οἱ μὲν, ἠνάγκαζον συντίθεσθαι τῷ πονηρῷ δόγματι. οἱ δὲ τὴν τῶν πατέρων πίστιν ὑπελογίζοντο. οἱ μὲν, πάντα πράττειν, οἱ δὲ, πάντα πάσχειν παρεσκευάζοντο. τοὺς μὲν, ἀπανθρώπως ᾐκίζοντο. τῶν δὲ, τὰς οἰκείας διήρπαζον, μιγνῦντες ἀσεβείᾳ, πλεονεξίαν. ἄλλους γυμνοὺς ἐπ' ἀκανθῶν ἔσυρον. καὶ ταῦτα γέροντας ἄνδρας καὶ τοὺς δαβιτικοὺς ὅρους τῆς ἡλικίας ὑπερπηδήσαντας. ὅσοι δὲ τῶν πρεσβυτέρων καὶ διακόνων ἦσαν νεώτεροι, τούτους δὴ τοῖς ἰουδαίοις ἐπώλουν, οἱ τῆς ἰούδα μοίρας καὶ τῆς ἀγχόνης ἐπάξιοι. ὡς γὰρ ἐκεῖνος χριστὸν, οὕτως οὗτοι τοὺς χριστοῦ δούλους, μᾶλλον δὲ φίλους κατ' αὐτὸν ἐκεῖνον εἰπεῖν, θαῤῥήσας δὲ φήσαιμι καὶ χριστοὺς, τοῖς ἀεὶ παραπικραίνουσιν ἀπεδίδοσαν. οὐκ ὀλίγοι δὲ πάντως ἦσαν, ἀλλ' εἰς διακοσίους ἀπαριθμούμενοι καθὰ δὴ προειρήκαμεν, οἱ τοῦ βήματος. ὅσοι δὲ διδασκάλων ἐπεῖχον τάξιν, οἷος δὴ Γοράσδος ἐκεῖνος, οὗ πολλάκις ἐμνήσθημεν, ὃν ἐκ Μοράβου γενόμενον, καὶ ἄμφω τὰ γλῶττα τήντε Σθλοβενικὴν ὄντα καὶ τὴν γραικικὴν ἱκανώτατον, ἡ μὲν ἀρετὴ Μεθοδίου τῷ θρόνῳ δέδωκεν, ἡ δὲ τῶν αἱρετικῶν κακία τὸν θρόνον

τῇ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῇ ςερήσει τȣ̃ ἀνδρὸς, ἀπεκόσμησεν· ϗ μέντοι καὶ Κλήμης πρεσβύτερος ἀνὴρ λογιώτατος, ϗ Λαυρέντιος, ϗ Ναȣ̀μ, καὶ Ἀγγελάριος, τȣ́τȣς δὴ καὶ ἄλλȣς πλείȣς ὀνομαςȣ̀ς, σιδηροδέτȣς φυλακαῖς εἶχον ἐγκλείσαντες, ἐν αἷς πᾶσα παράκλησις ἀπηγόρευτο ȣ̓ συγγενῶν, ȣ̓γνωςῶν θαῤῥȣ́ντων, ȣ̓δοπωσȣ̃ν ἡ προσέλευσις. ἀλλ᾽ ὁ παρακαλῶν τȣ̀ς ταπεινȣ̀ς κύριος, ὁ τȣ̀ς συντετριμμένȣς τὴν καρδίαν ἰώμενος, ὁ διὰ τῶν παρακλήσεων εὐφραίνων ψυχὴν ἀντιμετρȣμένων τῷ πλήθει τῶν ὀδυνῶν, παρεκάλεσε τȣ̀ς ἁγίȣς ἐξαποςείλας αὐτοῖς τὴν ἐξ ἁγίȣ βοήθειαν. οἱ μὲν γὰρ ϗ τῷ σιδήρῳ τῆς ἁλύσεως βαρυνόμενοι, ȣ̓δ᾽ ȣ̔́τως ἠμέλȣν τῆς προσευχῆς, ἀλλὰ τὰς τῆς τρίτης ὥρας ᾠδὰς ὑπάςαντες, εἶτα ϗ τὸ τῶν ψαλμῶν ἐφύμνιον προσεπῇδον· δι᾽ οὗ τὸ πανάγιον Πνεῦμα τὸ ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποςόλοις ἐπιπεμφθὲν, ἐγκαινισθῆναι ἡμῖν εὐχόμεθα. Θεὸς δὲ ἐπιβλέψας ἐπὶ τὴν γῆν, ἐποίησεν αὐτὴν τρέμειν, ϗ σεισμὸς μέγας ἐγένετο, ὥσπερ ἐν τοῖς δεσμοῖς ποτὲ Παύλȣ προσευχομένȣ, ϗ ὡς ἐξ ȣ̓ρανȣ̃ ἦχος, ϗ αἱ ἁλύσεις ἐξέπιπτον. ϗ οἱ τέως δέσμιοι, ἄνετοι, μόνῳ τῷ τȣ̃ χριςȣ̃ πόθῳ ἀλύτῳ δεσμȣ́μενοι. συνέσεισε μὲν οὖν τὴν γῆν ὁ Θεὸς καὶ συνετάραξεν. ἐσείσθησαν δ᾽ ἄρα ϗ οἱ περὶ τὴν πόλιν ἐκείνην, καὶ τῷ γεγονότι διεταράχθησαν, ὥς τε θαυμάζειν ϗ διαπορεῖσθαι τίποτ᾽ ἄρ᾽ ἡ θεοσημεία βȣ́λοιτο. ὡς δὲ πλησιάσειεν μὲν τῇ φυλακῇ, ἴδοιεν δὲ τὸ περὶ τȣ̀ς ἁγίȣς γενόμενον, ϗ ὡς τῶν ἁλύσεων ἐκπεσȣσῶν, ἐν ἀνέσει πάσῃ διῆγον τὴν θείαν ἀκȣτισθέντες ὡς ὁ Δαβὶδ φησὶν ἀγαλλίασιν, δρομαῖοι προσελθόντες τῷ ἄρχοντι, τί τȣ̃το φᾶναι, μέχρι τίνος πρὸς τὸ φῶς τῆς ἀληθείας ȣ̓κ ἀναβλέπωμεν; ὦτα ἔχομεν ϗ ȣ̓κ ἀκȣ́ομεν, οἷα τὰ παρὰ τῷ Δαβὶδ εἴδωλα; εἰβȣ́λει δέ μοι, οἱ παρὰ τῷ Ἡσαΐᾳ τὸ Πνεῦμα λαβόντες τῆς κατανύξεως; ȣ̓ συνήσωμεν τὸ γενόμενον θαῦμα;

μα, ἐ τὴν θεοσημείαν δυσωπησόμεθα; ἐ δεσμῶται μᾶλλον ἡμεῖς τῆς πρὸς τὲς ἐκ τῶν δεσμῶν λυθέντας τιμῆς ἐσόμεθα; ἀλλ᾽ ἡ τῶν αἱρετικῶν γλῶττα, τὸ θαῦμα διαβάλλειν πειρᾶται πάλιν. ὥσπερ ἡ τῶν φαρισαίων τὰ τότε παρὰ τῦ κυρίε τελέμενα. ϗ γοητεῖαι φασὶ ϗ μάγων τέχναι προφανεῖς ταῦτα τρόπον ἕτερον τὸν Βεελζεβὲλ, τῇ καινότητι τῦ ἔργυ ἐπιγραφόμενοι, οἱ τῆς ἐκείνε ἐνεργείας κατάπλεω. εἶτα πάλιν, ἔδει γὰρ μὴ συνιέναι τὸν ἀσύνετον ἄρχοντα, ἀλύσεις τὲς ἁγίες εἶχον τῶν προτέρων βαρύτεραι. ϗ κακώσεις ἐν τῇ φυλακῇ μᾶλλον ἢ πρότερον ἀπαράκλητοι. τρεῖς παρῆλθον ἡμέραι. ϗ πάλιν τὴν τῆς τρίτης ὥρας τελέντων προσευχὴν, ταυτὰ συμβαίνει τοῖς ἔμπροσθεν. σεισμός τε γὰρ μετ᾽ ἤχε ἐξ ἐρανῦ, καὶ ἀλύσεις ἐκπίπτεσαι. ϗ πάλιν οἱ θεομάχοι, μηδὲν τῶν πραχθέντων τῷ ἄρχοντι ἐμφανίσαντες, ταῖς αὐταῖς κακώσεσι τὲς ἁγίες ὑπέβαλον. ὧν αὐτοὶ πάντως ἦσαν ἀληθείας ψηφηφορέσης, ἄξιοι. ἀλλ᾽ ἀντιφιλοτιμεῖται Θεὸς ἑτέρωθεν. ἐντεῦθεν τὸ πρᾶγμα τῆς κακεχίας. ἐκεῖθεν τὸ δόγμα τῆς εὐθυμίας. ἡμερῶν γὰρ δέκα διαγενομένων, πάλιν ἐκ τρίτε ἀνατολῇ ἐξύψες οἱ ἀθληταὶ ἐπεσκέφθησαν, ϗ οἱ ἀπηλγηκότες αἱρετικοὶ τῆς αὐτῆς αὖθις ἦσαν πωρώσεως, ϗ τὸ διεςραμμένον οὐ κατευθύνετο. ϗ οὐκ ἐπεκοσμεῖτο τὸ τῆς γνώμης αὐτῶν περὶ τὴν τῦ καλῦ γνῶσιν ὑςέρημα. μᾶλλον μὲν ἐν ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων τοῖς ἁγίοις προσέθηκαν. ὡς γὰρ πρὸς τὸ πράττειν τὰ κατὰ γνώμην αὐτῶν παρὰ τῦ ἄρχοντος ἐδέξαντο τὸ ἐνδόσιμον, ἐξάγεσι μὲν τῆς φυλακῆς, αἰκίζονται δὲ ταῖς ἐξ ἀνθρώπων πληγαῖς, ὃ δὴ λέγεται. μήτε τῆς πολιᾶς, μήτε τῆς ἀσθενείας, ἣν ἡ πολλὴ κάκωσις ἐπήγαγε τοῖς τῶν ἁγίων σώμασι, φειδῶ θέμενοι. ἐκ οἶδε δὲ ἄρα τέτων ἐδὲν ὁ τοῖς αἱρετικοῖς ἐκεῖνος δελεύων ἄρχων. ἔτυχε γὰρ

απῶν, ὡς εἴγε παρῆν, ἐκ ἂν τοιαῦτα τοῖς ὁμολογηταῖς τῆς ἀληθείας ἐναπεδείξαντο. κἂν γὰρ μυριάκις τοῖς φράγγοις προσετίθετο, τήνγε τῶν ἱερῶν ἀνδρῶν, ἀρετὴν ἐδυσώπειτο, ϗ μάλιςα τȣ̃ Θεȣ̃ τὸ θαῦμα τρισσεύσαντος, καίτοι ἡμιθηριώδης ἦν ϗ ἀμείλικτος. μετὰ δὲ τὰς ἀπανθρώπȣς ἐκείνας πληγὰς, μηδὲ τροφῆς μεταλαβεῖν τȣ̀ς ἁγίȣς παραχωρήσαντες. ȣ̓δὲ γὰρ εἴων ȣ̓δένα τοῖς τȣ̃ Χριςȣ̃ δȣ́λοις μᾶλλον δὲ Χριςοῖς προσρίπτειν ȣ̓δὲ ἄρτȣ κλασμάτιον, ἀλλὰ ςρατιώταις ἀπάγειν ἄλλον ἀλλαχȣ̃ τῶν παρὰ τȣ̃ ἱερȣ μερῶν παρέδωκαν, τὴν ἐκ τῆς πόλεως ἀειφυγίαν τῶν ȣ̓ρανοπολιτῶν καταψηφισάμενοι. παραλαβόντες ȣ̓͂ν τȣ̀ς ἁγίȣς οἱ ςρατιῶται ἄνθρωποι βάρβαροι, νεμιτζοὶ γὰρ, ϗ φύσει μὲν τὸ ἀνήμερον ἔχοντες, προσλαβόντες δὲ τȣ̃το ϗ ἐπιτάγματι, ἐξάγȣσι μὲν τῆς πόλεως, ἀποδύσαντες δὲ γυμνȣ̀ς ἔσυρον. ϗ δύο ταῦτα δι ἑνὸς κατειργάζοντο. τὸ, τε ἄσχημον, ϗ τὴν ἐκ τȣ̃ ἀέρος ἀεὶ τοῖς παριςρίοις μέρεσι παγετώδȣς ἐπικειμένȣ κάκωσιν. ἀλλὰ δὴ ϗ τὰ ξίφη τοῖς τραχήλοις ἐκείνων ἐπικατῆγον ὡς πλήξοντες· ϗ τὰ δόρατα τοῖς πλευροῖς ἐπέφερον ὡς βαπτίσοντες, ἵνα μὴ μόνον ἕνα θάνατον θάνοιεν, ἀλλὰ τοσαυτάκις, ὁσάκις ἐλπίζȣσι. ϗ τȣ̃το τοῖς ςρατιώταις παρὰ τῶν ἐχθρῶν ἐνταλθέν. ἐπεὶ δὲ τῆς πόλεως ἀπεῖχον πολὺ, ἀφέντες αὐτȣ̀ς οἱ ἀπάγοντες, τῆς ἐπὶ τὴν πόλιν αὖθις ὁδȣ̃ εἴχοντο. οἱδὲ τȣ̃ Χριςȣ̃ ὁμολογηταὶ μαθόντες τȣ̃ κυρίȣ, τοῖς διωκομένοις ἐκ ταύτης της πόλεως, εἰς τὴν ἑτέραν φεύγειν κελεύοντος, Βȣλγαρίαν ἐπόθȣν, Βȣλγαρίαν περιενόȣν, Βȣλγαρία τȣ́τοις δȣ̃ναι ἄνεσιν ἐπηλπίζετο. ȣ̓μὴν ἀλλὰ ϗ ταύτην, εἰ μὴ τὴν ὁδὸν διακλέπτοιεν, ἀπεγίνωσκον. ὅθεν ϗ πάντας ὀφθαλμȣ̀ς λανθάνειν ἐσπȣ́δαζον, βρωμάτων, ἐνδυμάτων ἀπορȣ̃ντες. ȣ̓κȣ̃ν ἠναγκάσθησαν διὰ τὸ δέος ἀπ' ἀλλήλων διαιρεθῆναι. ϗ δὴ ἄλλος ἀλλαχȣ̃ διεσπάρησαν, Θεῷ τȣ́το δό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δόξαν, ἵνα ϗ πλείω μέρη τῷ κύκλῳ τοῦ εὐαγγελίου ἐμπεριλάβωσι. Κλήμης μέντοι Ναοὺμ συμπαραλαβὼν καὶ Ἀγγελλάριον, τὴν πρὸς τὸν Ἴστρον φέρουσαν ὥδευον, καὶ κώμῃ τινὶ ἀπαντῶσι παρακλήσεως ἀξιώσαντες τὰ πεπονηκότα ϗ τροφῶν ἀπορίᾳ, ϗ σκεπασμάτων τοῦ σώματος. ζητήσαντες δὲ, τίς ἐν τῇ κώμῃ φιλόθεος ϗ φιλόξενος, κἀπὶ βίου σεμνότητι μαρτυρούμενος, ϗ αὐτὸ δὴ τοῦτο, τὸ τοῦ Χριστοῦ, εἰρήνης υἱός· ἐπειδὴ τοῦτον εὗρον, τούτῳ ἐπεξενώθησαν. τῷ δὲ, ἦν παῖς ϗ μονογενὴς ϗ καλὸς, ϗ ἡλικίας ἔχων ἀνθηρῶς. ἅμα τε οὖν εἰσῆλθον εἰς τὴν οἰκίαν οἱ ξένοι, ϗ ὁ υἱὸς ἐξῆλθε τοῦ βίου. ἐκεῖνος ὁ περικαλλὴς, ὁ μόνος ὀφθαλμὸς τῷ Πατρὶ, τὸ τοῦ γένους ἔρνος τὸ εὐθαλέστατον. τί παθεῖν οἴεσθε τὸν πατέρα, τίδε οὐκ εἰπεῖν τοσοῦτον πένθος ἐπὶ τῷ ποδὶ τῶν ξένων ἐλεεινῶς δυστυχήσαντα; καλά γε ταῦτα τῆς φιλοξενίας μισθώματα; ἐπὶ τούτῳ τὴν θύραν ὑμῖν ἀνέῳξα, ἵνα μοι ὁ οἶκος ἀποκλεισθείη, τὸν κληρονόμον ἀποβαλών; ἐπὶ τούτῳ δεξιὰν ὑμῖν ἐνέβαλον, ἵνα τὴν μόνην ἐμοὶ δεξιὰν ἀποβάλωμαι; ὢ πικρᾶς ταύτης ἡμέρας ὅτε τῇ κώμῃ προσήλθετε. ὢ σκοτεινοῦ τούτου φωτὸς, ὃ πρὸς τὴν ἐμὴν οἰκίαν ὑμᾶς ὡδήγησε. τάχα γόητες ὑμεῖς ϗ τῷ μόνῳ Θεῷ ἐχθροὶ, ϗ ταύτην ἔχω παρ' ἐκείνου τὴν δίκην, ὅτι τοὺς ἀπηχθημένους αὐτῷ, τῆς ἐμῆς στέγης ἠξίωσα. πολλοὺς μὲν ϗ ἄλλους ἐδεξάμην εἰς τὴν οἰκίαν ἐκ τῶν παρόντων καρποφορῶν Θεῷ, ϗ εἰσάγων τὸ κατὰ δύναμιν, ἀλλ' ἐπλήθυνέ μοι τὰ ἔνδον ὁ κύριος. οὐχ ὑπέρρεον, ἀλλ' ἐπέρρεον, ϗ τὴν δαπάνην προσθήκην εὕρισκον, ϗ τὸ ἐπ' εὐλογίαις σπέρμα, θέρος εὐλογημένον, πεπληθυσμένον γεώργιον. νῦν δὲ.... ἀλλ' ὤμοι φίλτατε παῖ, τὸ πάντων κτημάτων ἐμοὶ κάλλιστόν τε ϗ χαριέστατον, μᾶλλον δὲ ϗ σπλάγχνων τῶν ἐμῶν φίλτερον ϗ ζωῆς αὐτῆς ποθεινότερον, τῇ τῶν καταράτων τού-

των

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν τούτων ἐσφαγιάσθης εἰσόδῳ. τελχῖνες ἀτεχνῶς οὗτοι δαίμονες φόνιοι, θανάτοις παίδων ἐπιτερπόμενοι. ἀλλ' οὐ γὰρ ἐκφεύξεσθε τὴν δίκην κἂν τὰ πάντα μαγεύσητε, χερσὶ δὲ πατρὸς ἐμπεσόντες υἱὸν πενθοῦντος δι' ὑμᾶς, υἱὸν καλὸν καὶ μονογενῆ, πάντων ὧν εἰργάσασθε τὴν ἀξίαν νῦν ἀποτίσετε. καὶ δὴ δεσμὰ ἐπὶ τούτοις ἐκάλει καὶ κολαστήρια. οἱ δὲ, καὶ αὐτοὶ μὲν οὐχ ἧττον τοῦ πατρὸς ἔπασχον. καὶ τί γὰρ αἱ συμπαθεῖς ψυχαὶ καὶ φιλάνθρωποι, πλέον δὲ εἶχον καὶ τὸ αἰσχύνεσθαι. τῇ δὲ πίστει θαῤῥήσαντες ᾗ πάντα δυνατὰ κατὰ τὸν τοῦ κυρίου λόγον, καὶ τὰ ἀδύνατα, εἰς εὐχὴν μὲν τραπέσθαι διέγνωσαν, τοῦ δὲ πατρὸς τὸ φλεγμαῖνον τῆς ὀργῆς καταψῶντες ἠπίως, καὶ τὸ σκληρὸν τοῦ δικαίου θυμοῦ μαλάττοντες, ἡμεῖς ἔφασαν, ὦ τοῦ Θεοῦ ἄνθρωπε, οὔτε γόητες ἐσμὲν, ἀλλὰ καὶ τοῖς οὕτως ἔχουσι πάντα τὰ χείριστα ἐπαρώμεθα. Θεῷ δὲ λατρεύομεν τῷ ἀληθινῷ, ὃν εἶναι καὶ πυλωροῖς ᾅδου φρικτὸν ἀκηκόαμέν τε καὶ πεπιστεύκαμεν, ὃς καὶ χειρὸς ἐπαφῇ καταπαλαίει τὸν θάνατον, καὶ φωνῇ μόνῃ τετραημέρῳ καὶ ὀδωδότι νεκρῷ τὴν ζωὴν ἐπιδίδωσιν. εἰ τοίνυν ἡμᾶς οἴει αἰτίους εἶναι θανάτου τῷ σῷ παιδὶ, θάῤῥει τὸ ἐφ' ἡμῖν. πεποίθαμεν γὰρ ὅτι δι' ἡμᾶς αὐτῷ τὴν ζωὴν χαρίσεται κύριος. καὶ δὴ τῷ παιδὶ ἐπευξάμενοι, ὢ καινοῦ θαύματος, ὢ τῆς ἀειλαμπούσης σου χάριτος σῶτερ Χριστὲ, τῷ ποθοῦντι πατρὶ τὸν υἱὸν ζῶντα παρέστησαν. τί τοίνυν ὁ πατήρ; οἱ ἅγιοι, οἱ τοῦ Θεοῦ δοῦλοι, οἱ σωτῆρες τῆς ἐμῆς οἰκίας ἐκραύγαζεν, οὐδ' ἐν τῷ καθεστηκότι ὢν ὑπὸ τῆς χαρᾶς, ἀλλὰ παραβακχόντι καὶ ἐξεστηκὸς κεκραγὼς, σύγγνωτέ μοι, πατέρες ὅσιοι, σύγγνωτε, ἀγνόημα ἠγνόησα ἐφ' ὑμῖν, πάσης εὐθύνης ὑπέρτερον, ἀλλ' ἰδοὺ πάρεστιν ὑμῖν τὰ ἐμὰ, πάρειμι καὶ αὐτὸς ὑμῶν οἰκέτης ἐσόμενος, ἀπολαύσατε τῶν ἐμῶν, χρήσασθέ μοι ὅ,τι καὶ βούλεσθε, μόνον ὁρῴην τὸν παῖδα, ὃν

ὑμεῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑμεῖς μοι νῦν ἐγεννήσατε· οἵδε, τὴν μὲν πίστιν τοῦ ἀνδρὸς προσηκάμενοι, πρὸς δὲ τὴν προκειμένην ὁδὸν κατασπεύδοντες, μόνοις ἐφοδίοις τὴν δεξίωσιν αὐτοῦ περιγράψαντες, τὴν πρὸς τὸν Ἴστρον ἄγουσαν ὤδευον, σὺν πολλῇ παραπεμφθέντες τιμῇ, ὑπὸ τοῦ καταξιωθέντος ἐκείνου τοῦ θαύματος. ἐπεὶ δὲ κατὰ τὰς ὄχθας τοῦ Ἴστρου γενόμενοι, ἑώρων τὸ ῥεῦμα πολὺ, ϗ διὰ τοῦτο ϗ ἄπορον, ξύλα τρία συνδήσαντες φιλύρας φλοιῷ τῇ ἄνωθεν δυνάμει φρουρούμενοι, τὸν ποταμὸν διεπέρασαν. ϗ κατακλυσμὸν αἱρέσεων φεύγοντες, ξύλοις κατὰ θείαν ἐπιφροσύνην ἐσώθησαν. ϗ τῇ Βελαγράδων (πόλις δὲ αὕτη τῶν περὶ Ἴστρον ἐπισημοτάτη) προσελθόντες Βοριτακάνῳ τῷ τότε φυλάττοντι ταύτην ἐνεφανίσθησαν, ϗ πάντα τὰ περὶ αὐτῶν ἀπήγγειλαν μαθεῖν θέλοντι. ὡς δὲ ταῦτα μαθὼν ἐκεῖνος ἔννοιαν ἔλαβε τοῦ μεγάλους εἶναι τοὺς ἄνδρας ϗ Θεῷ πλησιάζοντας, δεῖν ἔγνω πρὸς τὸν ἄρχοντα Βουλγαρίας Βορίσην (οὗπερ αὐτὸς ὑποστράτηγος ἦν) ὑποστεῖλαι τοὺς ξένους. ᾔδει γὰρ τὸν Βορίσην διψῶντα τοιούτων ἀνδρῶν. ἐκ μακροῦ ἀναπαύσας οὖν αὐτοὺς, εἶτα τῷ ἄρχοντι δῶρον πολύτιμον ἔπεμψε, δηλώσας αὐτῷ τοιούτους εἶναι τούτους, οἵους αὐτὸς ἐπόθει πόθῳ σφοδρῷ. ἐπεὶ δὲ τῷ Βορίσῃ προσῆλθον, ὑποδεχθέντες ἐντίμως, ϗ ὡς ἔδει τοὺς τὰ πάντα σεμνούς τε ϗ σεβασμίους, ἐπηρώτα τὸ κατ' αὐτούς. οἵδε, πάντα κατέλεγον ἀπ' ἀρχῆς ἄχρι τέλους μηδὲν ἐλλείποντες. ἀκούσας δὲ ταῦτα ὁ ἄρχων, μεγάλως ηὐχαρίστησε τῷ Θεῷ τοιούτους αὐτοῦ θεράποντας τῇ Βουλγαρίᾳ εὐεργέτας ἐπαποστείλαντι, διδασκάλους τε καὶ καταρτιστὰς, δωρησαμένῳ τῆς πίστεως, οὐ τοὺς τυχόντας ἄνδρας, ἀλλ' ὁμολογητάς τε ϗ μάρτυρας. στολάς τε οἰκείας ἱερεῦσι δοὺς, ϗ πάσῃ τιμῇ δεξιωσάμενος, οἰκήσεις αὐτοῖς ἀπονεμηθῆναι προσέταξε, τὰς τοῖς πρώτοις τῶν αὐτοῦ φίλων ἀφωρισμένας, ϗ πᾶσαν αὐτοῖς τῶν χρειωδῶν δαψί-

λειαν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λειαν περιεποιήσατο. εὖ ἐκεῖνος εἰδὼς ὅτι τὸ περί τι μικρὸν τῶν ἀναγκαίων τῷ σώματι τοῖς τῆς φροντίδος λογισμοῖς ἐπιστρέφεσθαι, τῆς πρὸς Θεὸν σχολῆς ἀφαιρεῖται πάμπολυ, εἶχε δὲ αὐτὸν ἔρως δριμὺς, τῦ καθ᾽ ἑκάστην τύτοις προσδιαλέγεσθαι, καὶ παρ᾽ αὐτῶν ἱστορίας ἀρχαίας καὶ βίυς ἁγίων ἀναδιδάσκεσθαι, καὶ τὰ τῶν γραφῶν διὰ στόματος αὐτῶν ἐπιλέγεσθαι. ἀλλὰ καὶ ὅσοι ἦσαν περὶ αὐτὸν γένυς τὲ ὄγκῳ καὶ πλύτυ βάρει τῶν ἄλλων προέχοντες, καὶ ὗτοι δὴ τοῖς ἁγίοις προσφοιτῶντες ὡς παῖδες ἐς διδασκάλων, ἠρώτων πάντα τὰ σωτηρίας ἐχόμενα, καὶ πηγῶν ἀντλῦντες ἐκείνων τῶν ἀεννάων, αὐτοί τε ἔπινον καὶ τοῖς οἴκοις τῦ νάματος μετεδίδωσαν. καὶ σφοδροὶ τοῖς ἁγίοις ἐνέκειντο, εἴπως αὐτὺς πείσαιεν ἕκαστος, τῆς οἰκίας αὐτῦ ἐπιβῆναι, ἁγιασμὸν τὴν παρυσίαν τῶν διδασκάλων ἡγύμενοι, καὶ ὅπυ ἂν ὦσιν οἱ τρεῖς ὗτοι, οἱ τὰ πάντα καὶ ψυχὰς συνημμένοι καὶ σώματι, ἐκεῖ παρεῖναι πιστεύοντες καὶ τὸν κύριον. τοῖς ἁγίοις μέντοι τὸν ὄχλον φεύγυσιν, ἅμα δὲ καὶ τὸ θυμῆρες τῷ ἄρχοντι τελεῖν σπεύδυσιν, ὐκ ἐδόκει ταῖς οἰκίαις παρέχειν ἑαυτὺς τῶν πολλῶν. εἰμὴ ὁ θεοφιλὴς ἐκεῖνος ἄρχων αὐτοῖς ἐπιτρέψειεν. ὅθεν καί τις Βυλγάρων· Ἐχάτζης τὴν κλῆσιν. σαμψὴς τὸ ἀξίωμα, τῷ ἄρχοντι προσελθὼν, ἠξίωσεν εἰς τὴν αὐτῦ οἰκίαν συμπαραλαβεῖν τῷ ὁσίῳ Ναὺμ τὸν ἱερώτατον Κλήμεντα. καὶ ὃς, ἦν γὰρ κεχαρισμένος αὐτῷ ὁ τὴν αἴτησιν ποιύμενος, ἑτοίμως κατένευσε, καὶ μετὰ πάσης ἔφη τιμῆς τὺς διδασκάλυς ὑποδέξαι, ἄχρις ἂν ἐπ᾽ αὐτοῖς τελείως τὸ πρακτέον οἰκονομήσωμεν. ἁγιάζεται καὶ Τζαθλάβῳ τὸ οἴκημα τῇ ἐπιφοιτήσει Ἀγγελαρίυ. καὶ τύτῳ γὰρ αἰτησαμένῳ τῦτον λαβεῖν τὸν διδάσκαλον, ὁ ἄρχων τὴν χάριν δέδωκεν. ἀλλ᾽ ὐκ ἔμελλεν ἄρα τῆς ἐν τῷ βίῳ τύτυ παρυσίας ἀπολαῦσαι Τζαθλάβος ἐπὶ μακρόν· ζήσας γὰρ Ἀγγελάριος παρ᾽ αὐτῷ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ χρόνου τινὰ, χερσὶν ἁγίων ἀγγέλων οὐκ ἀηδῶς ἐναπέψυξε. Κλήμης δὲ καὶ Ναοὺμ παρὰ τῷ Ἐχάτζῃ διῆγον, πάσης μὲν τιμῆς ἀξιούμενοι, μειζόνων δ' ἀξιοῦντες αὐτοὶ καὶ φιλοτιμοτέρων τῶν δωρεῶν, ὅσῳ τὰ πνευματικὰ σπείροντες, τὰ σαρκικὰ τοῦ ἀνδρὸς ἐθέριζον. εἶτα, οὐ γὰρ ἀνύει ἀνύει πάντας κινῶν λογισμοὺς ὁ τοῦ Θεοῦ ὄντως ὑποστράτηγος Μιχαὴλ, ὃν καὶ Βορίσην ὁ λόγος φθάσας ὠνόμασεν, ὅπως ἅπασαν ἀσχολίαν πρὸς τὸ τοῦ Θεοῦ ἔργον τοῖς ἱεροῖς ἀνδράσι παρασκευάσειε, Θεοῦ τὸν λογισμὸν τοῦτον ὑποβαλόντος αὐτῷ, διαιρεῖ μὲν τὴν κουτμιτζιβίτζαν ἐκ τοῦ κοτοκίου, προϊστᾶ δὲ αὐτῆς Δοβετᾶν παραλύσας αὐτὸν τῆς διοικήσεως. παραδίδωσι δὲ τῷ Δοβετᾷ τὸν μακάριον Κλήμεντα, μᾶλλον δὲ τὸν Δοβετᾶν Κλήμεντι, ἢ τόγε ἀκριβέστερον εἰπεῖν, ἑκάτερον ἑκατέρῳ, τὸν μὲν, ὡς τὰ πάντα ὑπήκοον, τὸν δ' ὡς ὑπουργῷ τούτῳ πρὸς τὰ θελητέα χρησόμενον. διδάσκαλος γὰρ ὁ Κλήμης τῆς κουτμιτζιβίτζας ἐστέλλετο. προστάγματά τε κατὰ πάντων ἐφοίτα τῶν ταύτην οἰκούντων τὴν χώραν φιλοτίμως τὸν ἅγιον δέχεσθαι, καὶ πᾶσαν τὴν ἀφθονίαν αὐτῷ, καὶ τῶν περιττῶν παρέχεσθαι, δώροις τε δεξιοῦσθαι, καὶ διὰ τῶν ὁρωμένων τῶν ταῖς ψυχαῖς ἐναποτεθειμένων, τῆς ἀγάπης θησαυρῶν δημοσιεύειν πρὸς ἅπαντας. καὶ τὸ δυσωπητικώτερον, αὐτὸς ὁ Βορίσης τρεῖς οἴκους τῷ τρισμάκαρι Κλήμεντι τῶν τὴν πολυτέλειαν περιττῶν ἐν Διαβόλει προσαναθέμενος τοῦ γένους τῶν κομήτων ὄντας. ἀλλὰ δὴ καὶ κατ' Ἀχρίδα καὶ Γλαβενίτζαν ἀναπαύσεως τόπους αὐτῷ ἐχαρίσατο. τὰ μὲν οὖν τοῦ ἄρχοντος, τοιαῦτά τε καὶ τοσαῦτα. καὶ οὕτως ἡ θαυμασία ψυχὴ, τὸν ἐπὶ Χριστῷ πόθον εἰς τὸν τοῦ Χριστοῦ θεράποντα καθ' ὅσον ἐνῆν ἐκχέουσα, καὶ τῆς ἄλλης τῆς τιμίας ταύτης φιλοτιμίας ἀρχέτυπον προετίθετο. τὰ δὲ τοῦ Κλήμεντος οἷα; ἆρα ταῖς τιμαῖς χαυνωθεὶς καὶ ὑπὲρ ὃ ἦν ἑαυτὸν

λο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λογισάμενος, εἶτα καὶ τρυφερώτερον ἔζησε, πάντα ἤδη κατωρθωκέναι οἰόμενος; ἄπαγε. ἀλλ' ὥσπερ μήπω μηδενὶ μηδὲ μικρὸν θεραπεύσας Χριστόν, ἀρχὴν τοῦ περὶ τὸν λόγον ἀγῶνος, καὶ τῆς περὶ τὸ κήρυγμα σπουδῆς, ταύτας δὴ τὰς τιμὰς κατεβάλλετο, καὶ ὅπως μὴ ψεύσῃ τὸν ἄρχοντα τῶν ἐπ' αὐτῷ ἐλπίδων, οὐδέποτε φροντίζων ἐνέλειπεν. ἀμέλει καὶ τὰς χώρας ταύτας περὶ ὧν ἐμνήσθημεν τοῖς ἔθνεσι τὸ τοῦ Θεοῦ σωτήριον μεγαλοφώνως κατήγγειλε. καὶ πᾶσι μὲν κοινῶς περί τε τῶν σωτηριωδῶν τοῦ Χριστοῦ ἐντολῶν καὶ τῶν θείων δογμάτων διαλεγόμενος, καὶ πείθων ὡς καὶ βίος σεμνός, χωρὶς δογμάτων ὑγιῶν, νεκρός τῷόντι καὶ ὀδωδώς, καὶ δόγματα χωρὶς βίου πρὸς ζωὴν οὐκ εἰσάγουσιν· ὁ μὲν γὰρ ἐοικέναι ποιεῖ τυφλῷ πόδας καὶ χεῖρας ἔχοντι, τὰ δέ, βλέποντι μέν, χεῖρας δὲ καὶ πόδας ἠκρωτηριασμένῳ. ἔχων δέ τινας ἐκλελεγμένους τῶν ἄλλων καθ' ἑκάστην ἐνορίαν οὐ μενοῦν ὀλίγους, εἰς τρισχιλίους γὰρ καὶ πεντακοσίους ἠριθμοῦντο. τούτοις τὰ πλείω συνῆν, καὶ τὰς βαθυτέρας τῶν γραφῶν ἀνεκάλυπτεν. ἡμᾶς δὲ τοὺς ταπεινοὺς καὶ ἀναξίους, οἰκειοτέρους τῶν ἄλλων διὰ σπλάγχνα τῆς χρηστότητος ἐποιήσατο, καὶ πάντοτε συνῆμεν αὐτῷ, πᾶσι παρακολουθοῦντες, οἷς ἔπραττεν, οἷς ἔλεγεν, οἷς δι' ἀμφοτέρων ἐδίδασκεν. οὐκ εἴδομεν οὖν αὐτὸν ἠσχολακότα ποτέ. ἀλλ' ἢ τοὺς παῖδας ἐδίδασκε, καὶ τούτους ποικίλως, τοῖς μέν, τὸν τῶν γραμμάτων χαρακτῆρα γνωρίζων, τοῖς δέ, τὸν τῶν γεγραμμένων νοῦν σαφηνίζων, ἄλλοις πρὸς τὸ γράφειν τὰς χεῖρας τυπῶν· καὶ οὐχ ἡμέρας μόνον, ἀλλὰ δὴ καὶ νυκτὸς ἢ προσευχῇ ἑαυτὸν ἐδίδου, ἢ τῇ ἀναγνώσει προσεῖχεν, ἢ βίβλους ἔγραφεν. ἔστι δ' ὅτε καὶ δυσὶν ἔργοις κατὰ ταὐτὸν ἐμερίζετο, γράφων, καὶ τοῖς παισὶ τῶν μαθημάτων τι ὑφηγούμενος. τὴν γὰρ ἀργίαν ᾔδει πᾶν κακὸν διδάξασαν, ὡς ἡ πᾶν καλὸν διδάξασα σοφία διά τινος τῶν

αὐτῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτῆς ὑπηρετῶν ἀπεφθέγξατο. οὐκοῦν ἄριστοι πάντων οἱ τούτου μαθηταὶ καὶ βίῳ καὶ λόγῳ γεγόνασιν. ἔδει γὰρ τοὺς οὕτω μὲν καλῶς φυτευθέντας, οὕτω δὲ καὶ ἐπιμελῶς ποτισθέντας, καὶ ὑπὸ Θεοῦ αὐξηνθῆναι. ἐκ τούτων ἀναγνώστας, ὑποδιακόνους καὶ διακόνους, καὶ πρεσβυτέρους τελεῖ. καθ᾽ ἑκάστην δὲ ἐνορίαν τριακοσίοις μαθηταῖς εὐθυνεῖτο, χωρὶς τῶν μισθίων αὐτῶν μηδὲν τῷ ἄρχοντι συντελοῦσιν, ἀλλὰ Θεῷ στρατευομένοις, καὶ τούτῳ τελεῖν τεταγμένοις, μᾶλλον δὲ ἀποδιδόναι καὶ ταῦτα Κλήμης δι᾽ ὅλων ἑπτὰ ἐνιαυτῶν κατειργάσατο. ἤδη δὲ ὄγδοον τε ἦν αὐτῷ τῆς διδασκαλίας ἔτος, καὶ ὕστερον τῆς ζωῆς τῷ τοῦ Θεοῦ δούλῳ Μιχαὴλ τῷ Βορίσῃ τῷ ἡγιασμένῳ Βουλγαρίας ἄρχοντι. διαδέχεται δὲ τὴν ἀρχὴν ὁ τούτου υἱὸς Βλαδίμηρος, τέταρτον δὲ ἔτος ἐπιβιοὺς τῇ ἀρχῇ, ἐξ ἀνθρώπων ἐγένετο. καὶ κληρονόμος πάντων ὁ ἀδελφὸς αὐτοῦ Συμεών, ὃς καὶ βασιλεὺς πρῶτος ἀνεκηρύχθη Βουλγάρων. τοῦτον ἐγέννησεν ὁ Μιχαὴλ κατὰ τὴν ἰδέαν αὐτοῦ, καὶ κατὰ τὴν ὁμοίωσιν αὐτοῦ, χαρακτῆρας ἀπαραποιήτους ἀποσώζοντα τῆς χρηστότητος. καὶ πᾶσι μὲν ἁπλοῦς καὶ ἀγαθὸς ἦν, μάλιστα δὲ πρὸς τοὺς σεμνότητα τρόπων ἐπαγγελλομένους, καὶ βίου χριστιανικωτάτην ἐμφάνειαν, πίστιν θερμὴν ἐπεδείκνυτο, καὶ τῷ ζήλῳ τοῦ οἴκου τοῦ Θεοῦ κατησθίετο. καὶ τοίνυν τὸ τοῦ πατρὸς ὑστέρημα ἀνεπλήρωσεν, ἐπαυξήσας τὸ θεῖον κήρυγμα, καὶ ταῖς ἁπανταχοῦ δομηθείσαις ἐκκλησίαις ἐγκαταστήσας τὴν ὀρθοδοξίαν ἀσάλευτον, καὶ τῷ τοῦ Θεοῦ νόμῳ πλατεῖαν δεδωκὼς ὁδὸν καὶ ἀστενοχώρητον. ἐπεὶ δὲ πολὺν ἡ φήμη τὸν Κλήμεντα ποιοῦσα, καὶ τῆς περὶ αὐτοῦ δόξης ἀεὶ καθιστῶσα μείζονα, καὶ εἰκότως τὸν ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενον, εἶλε καὶ τὸν βασιλέα κατὰ κράτος Συμεών, καὶ τῆς ἀρετῆς τοῦ διδασκάλου ἐραστὴν πεποίηκε, μετακαλεῖται μὲν ὁ βασιλεὺς τὸν ἅγιον, εἰς λόγους δὲ αὐτῷ ἔρχεται, καὶ

τρυγήσας ἁγιασμὸν ἀπ' αὐτοῦ τοῦ προσχήματος. ἦν γὰρ τὸ εἶδος καὶ τοῖς ἐχθροῖς αἰδεσιμώτατος ὁ μακάριος, πολλὰ τὴν Βουλγάρων χώραν ἐπαινεῖν εἶχε, καὶ τὴν οἰκείαν βασιλείαν μακαρίαν τιθέναι, ὅτι τοιοῦτον ἀγαθὸν παρὰ Θεοῦ δέδεκτο. μετὰ ταῦτα τοῖς συνετωτέροις τῶν περὶ αὐτὸν σκοπήσας, οἱ πάντες ὡς πατρὶ προσεῖχον τῷ Κλήμεντι· τοῦτο μόνον ἀρέσκειν Θεῷ, ὃ τιμῶσι τοῦτον πιστεύοντες, ἐπίσκοπον Δρεμβίτζας ἤτοι Βελίτζας προβάλλεται. καὶ καὶ οὕτω δὴ Βουλγάρῳ γλώττῃ πρῶτος ἐπίσκοπος ὁ Κλήμης καθίσταται. ἐπεὶ δὲ τὸ ἔργον τῆς ἐπισκοπῆς ἐγκεχείριστο, τὸ τῆς ἀξίας ὕψος ὑπὸ βάθραν τῆς πρὸς Θεὸν ὑψώσεως ἔθετο, καὶ τοῖς προτέροις κόποις πολλαπλασίως προσέθηκε. Σολομὼν μὲν οὖν φησιν, ὡς ὁ προστιθεὶς γνῶσιν, προστίθησιν ἄλγημα. Συμεὼν δὲ τῷ Κλήμεντι προστιθεὶς τιμὴν, προσέθηκεν ἄλγημα· εὑρὼν γὰρ τὸν τῆς ἐνορίας ταύτης λαὸν παντάπασιν θείου λόγου καὶ γραφῶν ἀμείληκτον, καὶ μηδὲν πεπαιδευμένον τῶν ἐκκλησίαν κοσμούντων, καὶ λαὸν ταττόντων τῷ τῆς εὐταξίας καὶ κοσμιότητος Πνεύματι, οὐκ ἐδίδου ὕπνον τοῖς ὀφθαλμοῖς οὐδὲ νυσταγμὸν τοῖς βλεφάροις. ἀλλὰ τροφὴν καὶ τρυφὴν τὴν περὶ τοῦ λαοῦ ἐποιεῖτο μέριμναν, καὶ ἀεὶ ἐδίδασκε, καὶ ἀεὶ διέταττε, τὴν ἄγνοιαν διορθούμενος, τὴν ἀκοσμίαν κοσμῶν, πᾶσι τὰ πάντα κατὰ τὴν ἑκάστου χρείαν γινόμενος, τῷ κλήρῳ τὰ περὶ τὴν ἐκκλησιαστικὴν εὐκοσμίαν καὶ ὅσα τῶν ψαλμῳδιῶν τε καὶ εὐχῶν ὑφηγούμενος, ὥστε τελέσαι τοὺς τῆς ἐπισκοπῆς αὐτοῦ κληρικοὺς ἐν μηδενὶ μηδενὸς τῶν περιβοήτων ἀποφερομένους τὰ δεύτερα, μᾶλλον μὲν οὖν κατὰ πάντων ἐπὶ πᾶσι τοῖς ἐπαινετοῖς στεφομένους, τῷ λαῷ δὲ τὰς γνώμας στηρίζων, κἀπὶ τὴν πέτραν τῆς ὀρθῆς πίστεως αὐτοῖς κατασκευάζων στερέωμα. παντάπασιν γὰρ ἦσαν ἀμαθέστατοι, καὶ τὸ ὅλον εἰπεῖν κτηνωδέστατοι. τί δέ; λόγῳ μὲν ἔτρεφε τῷ ἀληθι-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νῷ ἄρτῳ ϗ καρδίας ὄντως ςηρίζοντι, ἠμέλει δὲ τῦ ϗ σωματικῶς τρέφειν ὅσϐς τοιαύτης τροφῆς ἐπιδεεῖς εὕρισκεν; ἀλλ' ὅτως ἂν ἐξ ἡμισείας ἐμιμεῖτο τὸν ἑαυτῦ Ἰησῦν, ὃν ᾔδει μετὰ τῆς διδασκαλίας, ϗ ἄρτοις τὸς ἀγνώμονας τρέφοντα. διὸ ϗ πατὴρ μὲν ἦν ὀρφανῶν, ϗ χηρῶν βοηθὸς, πάντα τρόπον αὐτῶν κηδόμενος, ἡ δὲ θύρα παντὶ ἁπλῶς ἀνέῳκτο πένητι, ϗ ξένος ἐκτὸς ὐκ ηὐλίζετο. σκοπὸν δὲ τῦ βίϐ, τὸν μέγαν ἐποιεῖτο Μεθόδιον, ϗ πρὸς ἐκεῖνον ἀπευθυνόμενος, μὴ ἀποτυχεῖν ἠπείγετό τε ϗ ηὔχετο, ϗ οἷόν τινα πίνακα σοφῦ τὴν τέχνην ζωγράφϐ τὸν ἐκείνϐ βίον ϗ τὰς πράξεις τῆς οἰκείας ἀγωγῆς προςησάμενος, ἑαυτὸν ἐζωγράφει πρὸς τῦτον ἐπιμελῶς. τὸν γὰρ τύτϐ βίον ὡς ὐδεὶς ἄλλος ἐγίνωσκεν, οἷα ἐκ νέου ἔτι ϗ ἁπαλῦ ἐκείνῳ παρηκολϐθηκὼς, καὶ ὀφθαλμοῖς πάντα τὰ τῦ διδασκάλϐ παρειληφώς. συνιδὼν δὲ τὸ τῦ λαῦ παχὺ ϗ περὶ τὸ νοῆσαι γραφὰς ἀτεχνῶς δερμάτινον, ϗ ἱερεῖς δὲ πολλὸς Βϐλγάρϐς δυσξυνέτως ἔχοντας τῶν Γραικῶν, ὧν περὶ τὴν ἀνάγνωσιν μόνην ἐνετρίβησαν γράμμασι, κἀντεῦθεν κτηνώδεις ὄντας, ὡς μὴ ὄντος Βϐλγάρων γλώσσῃ πανηγυρικῦ λόγϐ, ταῦτα τοίνυν συνεγνωκὼς, μηχανᾶται ϗ πρὸς τῦτο, ϗ καθαιρεῖ τὸ τῆς ἀγνοίας τεῖχος τῷ μηχανήματι. λόγϐς γὰρ συντεθεικὼς εἰς πάσας τὰς ἑορτὰς ἁπλῦς ϗ σαφεῖς, ϗ μηδὲν βαθὺ μηδὲ περινενοημένον ἔχοντας, ἀλλ' οἵϐς μὴ διαφεύγειν μὴ δὲ τὸν ἠλιθιώτατον ἐν Βϐλγάροις, διὰ τύτων τὰς τῶν ἁπλϐςέρων ψυχὰς ἐθρέψατο, γάλακτι ποτίσας τὸς μὴ δυναμένϐς ςερεωτέραν τροφὴν προσήκασθαι, ϗ Παῦλος, ἄλλοις τοῖς Βϐλγάροις Κορινθίοις ἄλλος γενόμενος· δι' αὐτῶν γὰρ τῶν τε Χριςῦ ϗ ἐπὶ Χριςῷ τελϐμένων ἑορτῶν ἔξεσι μαθεῖν τὰ μυςήρια, ϗ τῆς παναγνϐ Θεοτόκϐ ταῖς μνήμαις πολλάκις ὡς ἴςε γινομέναις τῦ ἔτϐς, ἐγκώμια, ϗ διηγήσεις τῶν περὶ αὐτὴν θαυμασίων

διὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διὰ τῶν λόγων ἐκείνων ὁ Κλήμης πεφιλοτίμηται· ȣ̓δὲ τὸν βαπτιςὴν εὑρήσεις ἀνεγκωμίαςον, ἀλλὰ ϗ τὰς τῆς κεφαλῆς αὐτȣ̃ θαυμαςὰς εὑρέσεις μαθήσῃ, ϗ προφητῶν καὶ ἀποςόλων ἐντεύξῃ βίοις ϗ περιόδοις. καὶ μαρτύρων ἄθλοις πτερωθήσῃ πρὸς τὸν ἐκείνȣς διὰ τȣ̃ αἵματος αὐτῶν προσλαβόμενον. ποθεῖς καὶ πατέρων ὁσίων ἀγωγὴν, ϗ ζηλωτὴς εἶ πολιτείας ἀσάρκȣ μικρȣ̃ ϗ ἀναίμονος; εὑρήσεις ταύτην Βȣλγάρῳ γλώττῃ πονηθεῖσαν τῷ σοφῷ Κλήμεντι. φέρονται γὰρ ταῦτα πάντα παρὰ τοῖς φιλοπόνοις σωζόμενα, τȣ̃το μὲν εἰς πολλȣ̀ς τῶν ἁγίων συντεθειμένα, τȣ̃το δ᾽ εἰς τὴν πανάμωμον τȣ̃ Θεȣ̃ μητέρα ἱκετηρίοις, εὐχαριςηρίοις, ϗ ἁπλῶς εἰπεῖν πάντα τὰ τῆς ἐκκλησίας, ϗ οἷς μνῆμαι Θεȣ̃ ϗ ἁγίων φαιδρύνονται, ϗ ψυχαὶ κατανύσσονται, Κλήμης τοῖς Βȣλγάροις ἡμῖν παρέδωκε. ταῦτα δὲ κἀν τῷ μοναςηρίῳ αὐτȣ̃ ἀπέθετο, ὃ ἐν Ἀχρίδι ἐδείματο ἔτι περιόντος τῷ βίῳ τȣ̃ μακαριςȣ̃ Βορίσȣ, πρὶν ἢ πάντως τὴν τῆς Βελίτζας ἐπισκοπὴν ἀναδέξασθαι. ἐπεὶ γὰρ εἶδε τȣ̃τον τὸν ἄρχοντα πᾶσαν τὴν ὑπ᾽ αὐτὸ Βȣλγαρίαν ἑπτὰ καθολικοῖς ναοῖς περιζώσαντα, ϗ οἷόν τινα λυχνίαν ἑπτάφωτον ἀναλάμψαντα, ἠθέλησε καὶ αὐτὸς ἐν Ἀχρίδι οἰκεῖον δείμασθαι μοναςήριον. τȣ́τῳ δὲ ϗ ἑτέραν ἐκκλησίαν προσέθηκεν ἣν ὕςερον ἀρχιεπισκοπῆς θρόνον ἔθεντο. ϗ ȣ̃τως ἦσαν ἐν Ἀχρίδι τρεῖς ἐκκλησίαι, μία μὲν ἡ καθολικὴ, δύο δὲ τȣ̃ ἱερȣ̃ Κλήμεντος μεγέθει πολλῷ τῆς καθολικῆς βραχύτεραι, σχήματι δὲ περιηγμένῳ ϗ κυκλοτερεῖ ταύτης ἐπιτερπέςεραι. ἔσπευδε γὰρ διὰ πάντων, τὴν τῶν Βȣλγάρων περὶ τὰ θεῖα ῥαθυμίαν ἐκκρȣ́εσθαι, ϗ τῷ κάλλει τῶν οἰκοδομημάτων ἐφελκομένȣς συνάγεσθαι, ϗ ὅλως ἐξημερȣ̃ν τὸ τῆς καρδίας αὐτῶν ἄγριον ϗ ἀτίθασσον, ϗ περὶ θεογνωσίαν ἀπόκροτον. ϗ καινὸν ȣ̓δὲν, εἰ γνώμας ἀνθρώπων μεταβαλεῖν ἠπείγετο πρὸς τὸ ἥμερον

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ϗ ἀνθρώπινον. ὅπουγε πάσῃ τῇ τῶν Βουλγάρων χώρᾳ δένδρεσιν ἀγρίοις Κομώσῃ ϗ καρπῶν ἡμέρων ἀπορούσῃ, ϗ τοῦτο τὸ καλὸν ἐδωρήσατο. ἀπὸ τῆς τῶν Γραικῶν χώρας πᾶν εἶδος ἡμέρων δένδρων μεταγαγὼν, ϗ τοῖς ἐγκεντρισμοῖς καθημερώσας τὰ ἄγρια ἵν, (οἶμαι) ϗ διὰ τούτου παιδεύσῃ τὰς τῶν ἀνθρώπων ψυχὰς, μεταποιεῖσθαι τοὺς χυμοὺς τῆς χρηστότητος, ϗ καρποφορεῖν Θεῷ τὴν ἐργασίαν τοῦ θείου θελήματος, ἣν ἐκεῖνος μόνην βρῶμα πεποίηται. οὕτως ἄρα τῆς τῶν ψυχῶν ὠφελείας ἐγίνετο, καὶ ὅπως τὴν ἐκκλησίαν κυρίου παντοιοτρόπως πλατύνῃ, φροντίδα πεποίητο, μηδενὸς ἐπιστρεφόμενος τῶν τοῦ σώματος μηδὲ τὴν ψυχὴν αὐτοῦ τιμίαν ἔχων ἑαυτῷ κατὰ τὸν θεῖον ἀπόστολον, ἀλλὰ τῶν πολλῶν ἵνα σωθῶσι κηδόμενος. οὕτω δὲ τὴν πρὸς Θεὸν ἀγάπην ἔχοντι τούτῳ ϗ τὸν ἐν οὐρανοῖς Πατέρα ὡς υἱῷ ἀγαπῶντι, ἄρα μικρὰ τοῦ ἀνταγαπᾶσθαι παρ' ἐκείνου μαρτύρια; οὐμενουν. ἀλλὰ δοξάζει ϗ τοῦτον Θεὸς θαυματουργῷ χάριτι. ϗ πῶς, ἐντεῦθεν ἀκούοιτε ἄν. ἐπάνεισι μὲν ἐκ Γλαβενίτζας εἰς ἀχρίδα Κλήμης ἅμα μὲν, τοὺς τῆς χώρας ἐπισκεψόμενος εἰ τὰς ψυχὰς εἶεν εὔρωστοι, εἰ τῷ τοῦ Θεοῦ φόβῳ οἷάτινι βακτηρίᾳ στηρίζοιντο. ἄρα δὲ ϗ κατὰ σχολὴν ἐν τῷ μοναστηρίῳ τῷ Θεῷ συνεσόμενος. οὗ τοῦ κάλλους ἐρῶν, δυσφόρως εἶχεν ἀλλοσέ ποι περιελκόμενος. παράλυτοι δέ τινες δύο ὑπ' ὄψιν αὐτῷ πεσόντες ὁδεύοντι, ὧν ἅτερος πρὸς τῇ παρέσει ϗ τοῦ πᾶσιν ἡδίστου φωτὸς ἐστέρητο, εἰς οἶκτον τὴν συμπαθεστάτην ψυχὴν ἐκίνησαν. ἀλλ' ὅσον πρὸς οἶκτον ἕτοιμος, τοσοῦτον ϗ πρὸς ταπεινοφροσύνην ἐπικλινής· μᾶλλον δὲ πλεῖον ἐκείνῳ τοῦ λαθεῖν θαυματουργοῦντα φροντὶς, ἢ τοῖς παραλύτοις ἐπιθυμία τοῦ τυχεῖν τῆς ἰάσεως. ταύτητοι ϗ περιβλεψάμενος κύκλῳ ϗ μηδένα ἑωρακὼς, ἀνατείνει μὲν τὸ ὄμμα εἰς οὐρανοὺς, αἴρει δὲ χεῖρας ὁσίας εἰς προσευχὴν, ϗ καθέλκει τὴν θεί-

αν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αν βοήθειαν. ἅπτεται χερσὶν ἐκείναις, αἷς τὴν εὐχὴν ἐπλήρȣ, τῶν παραλελυμένων σωμάτων. ϗ ἡ ἀφὴ σύσφιγξις αὐτȣ̃ ἐγένετο, ϗ συνάρθρωσις. ϗ τȣ̃το δὲ, τὸ τοῦ Ἡσαΐȣ, ἑκάτερος αὐτῶν ἁλλόμενος ἦν ὡς ἔλαφος, πλὴν ὅσον ȣ̓χωλὸς πρὶν μόνον, καὶ μέλος ἓν πεπηρωμένος τȣ̃ σώματος, ἀλλ᾽ ὅλος ἀκίνητος ϗ μηδὲν τῆς γῆς διαφέροντι ἐφ᾽ ἧς κατέκειτο, τῷ δέγε ϗ τυφλῷ, ταχὺ ἀνέτειλεν ἴαμα, ϗ φῶς ἰδὼν φωνῇ μεγάλῃ τὸν κύριον ἐμεγάλυνεν. ἀλλ᾽ ȣ̓κ ἔμελλεν ἄρα παντάπασιν ὀφθαλμȣ̀ς λαθεῖν τὸ θαυματȣ́ργημα. ὡράθη γὰρ τῶν τινι τȣ̃ ἁγίȣ θεραπευτῶν, ὃν ἰδὼν μετὰ ταῦτα ἐκεῖνος, ϗ γνȣ̀ς θεατὴν ὄντα ἀθέατον ϗ πρὸς τῇ κέλλῃ κρυπτόμενος κατεσκήπτετο, ἐνεβριμήσατότε ὡς πονηρευομένῳ, ϗ σὺν ἀπειλῇ μὴ ἐξειπεῖν τινὶ τὸ γεγονὸς, ἄχρις ἂν τῷ κόσμῳ Κλήμης ἐνδημοίη, παρήγγειλεν. ἤδη δὲ ϗ γήρᾳ καμφθεὶς, ϗ πόνοις ἐκδαπανηθεὶς, ἔκρινε τὴν ἐπισκοπὴν παραιτήσασθαι, ȣ̓χ ὡς λειποτακτῶν, ȣ̓δὲ τῆς τάξεως ἐξιςάμενος, ἐν ᾗ τὸ Πνεῦμα τὸ ἅγιον αὐτὸν ἔθετο ποιμαίνειν τὴν ἐκκλησίαν τȣ̃ Θεȣ̃, ἀλλὰ δι᾽ εὐλάβειαν μακαριςῆντε καὶ ἔνθεον. ἐδεδίει γὰρ μὴ τῇ αὐτȣ̃ ἀσθενείᾳ τὸ ἔργον τȣ̃ Θεȣ̃ καταλύοιτο. καὶ δὴ τῷ βασιλεῖ προσελθὼν, ἄχρι μὲν, εἶπε, θεοσεβέςατε βασιλέων ἀντεῖχέ μοι τὸ σῶμα πρὸς πόνȣς καὶ φροντίδας ἐκκλησιαςικὰς, βαρυτέρας ȣ̓́σας τῶν πολιτικῶν ὡς ἔγωγε πείθομαι, τὸ τὴν ἐκκλησίαν τȣ̃ Θεȣ̃ καταλιπεῖν, ἥν αὐτὸς ἐνεχείρισέ μοι τῷ σῷ κράτει χειρὶ χρησάμενος, πάσαις ψήφοις ἐδόκει κατάκριτον, ϗ ȣ̓δὲ μισθȣ̃ τὸ ἔργον. ἐκείνῳ γὰρ τȣ̃ λύκȣ ἐπιόντος, φεύγειν καὶ ἀφιέναι τὰ πρόβατα σύνηθες, ἐμοί δε τίς ἀπολογία, μηδένα λύκον ὁρῶντι, τὴν ποίμνην καταλιπεῖν τȣ̃ Θεȣ̃; ȣ̓́κȣν ȣ̓δὲ κατέλιπον ἄχρι καὶ ἐς τόδε καιροῦ· ἐπεὶ δέμοι ϗ τὸ γῆρας ὁρᾷς ὅπως ἐπίκειται, ϗ τὸ τῶν

πολ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πολλῶν κόπων πλῆθος τὸ πᾶν παρείλετο τῆς δυνάμεως, ὑπὲρ τῆς ἐκκλησίας μερίμνησον, καὶ τὸν δυνάμεως εὖ σωματικῆς πρὸς τῇ πνευματικῇ ἔχοντα, καὶ νεαρώτερον τὰς ἐκκλησιαστικὰς φροντίδας ἀναδεξόμενον τῷ τοῦ κυρίου οἴκῳ ἐπίστησον. ταύτην μοι τὴν τελευταίαν ἀξίωσιν πλήρωσον. δός μοι τὰς ὀλίγας ταύτας ἡμέρας ἐμαυτῷ προσλαλῆσαι καὶ τῷ Θεῷ, καλόν μοι πρὸς τοῦτο τὸ μοναστήριον οἰκητήριον, τὸν ἐν τούτῳ χάρισαι θάνατον. τί γὰρ ἐμοὶ καὶ ταῖς φροντίσιν ἔτι κοινὸν, στιβαρωτέρων δεομέναις μελῶν; εἰδὲ πρὸς τὰς τῆς ἐκκλησίας φροντίδας ἀδυνατῶ, τίνος ἄλλου χάριν τῆς ἀξίας ταύτης μεταποιήσομαι; ἔργον γὰρ τὴν ἐπισκοπὴν Παῦλος ἐκάλεσεν, ἧς ἀπέχειν προσῆκε τὸν τῷ ἔργῳ μὴ οἰκειότατον. μὴ δὴ θελήσῃς τὴν ἐκκλησίαν, ἐπὶ τῷ ἐμῷ ὀνόματι ἀνθήσασαν ὑπὲρ τὰς πολλὰς, εἶτα ἐπ' αὐτῷ τούτῳ μαραινομένην ἰδεῖν. ἀλλ' ὅπερ εἶπον, τὸ κάλλος αὐτῇ δι' ἑτέρων ἀκμαιοτέρων συντήρησον. κίνδυνος γὰρ οὐ μικρὸς διὰ τὴν ἐμὴν ἀσθένειαν τὰ πράγματα φθείρεσθαι. ὁ γοῦν βασιλεὺς τῷ καινῷ καταπλαγεὶς τοῦ ἀκούσματος (πλήττει γὰρ ἀπροσδοκήτως τὸ ἀθέλητον ἀκουόμενον) τί ταῦτα φάναι Πάτερ λέγεις; πῶς ἀνασχοίμην ἐγὼ θρόνοις ἐκείνοις ἰδεῖν σοῦ ζῶντος, ἄλλον ἐπικαθήμενον; πῶς τὴν ἐμὴν βασιλείαν τῶν σῶν ἀρχιερατικῶν εὐλογιῶν ἐρημώσαιμι; ἀπαίσιος οἰωνισμός μοι τῆς ἐκ τοῦ θρόνου τοῦ βασιλικοῦ καθαιρέσεως, ἡ σὴ τοῦ θρόνου τῆς ἐπισκοπῆς ἐγκατάλειψις. εἰ μὲν οὖν παραλελύπηκά τι τὴν σὴν ὁσιότητα, ἐν ἀγνοίᾳ πλημμελήσας. ὡς ἔγωγε οὐδὲν ἐμαυτῷ πεπλημμεληκότι σύνοιδα, καὶ δὴ φειδόμενος ἡμῶν ὡς πατὴρ οὐκ ἐκπομπεύειν ἐθέλεις τὴν ἐμὴν πρὸς σὲ παροινίαν, ἀλλὰ συσκιάζεις τὴν ἀληθινὴν αἰτίαν τῷ τῆς ἀδυναμίας προσχήματι. εἰπὲ δέομαι· ἕτοιμος ὑπέχειν εὐθύνας ἐγὼ, καὶ ἰᾶσθαι τὸ τοῦ πατρὸς ὁ παῖς ἄλγημα, εἰδὲ μηδὲν ἔχεις ἡμῖν ἐγκαλεῖν,

τί λυ-

τί λυπεῖν ἐθέλεις αὐτὸς τοὺς μηδὲν λυπήσαντας. οὐ τὸν κλῆρον ἔχεις αἰτιᾶσθαι ὡς ἀπειθῆ καὶ σκληραύχενα. πάντας γὰρ διὰ τοῦ εὐαγγελίου γεννήσας, σαυτῷ καὶ τῷ Θεῷ ὑποτέθεικας. οὐχ ἡμᾶς αὐτοὺς ὡς τάχα τῶν σῶν ἐνταλμάτων ἀφηνιάζοντας, οὐκ ἄλλοτι τῶν σῶν ἐπίψογον. τί τοίνυν παῖδας ἐᾷς τὴν σὴν ὀδυρομένους ἀνεύλογον ἀναχώρησιν, ἢ πείθου πάτερ εἰδὲ μὴ, τολμηρὸς ὁ λόγος, κἂν πάντα λέγῃς, οὐ πείσομαι, κἂν πάντα ποιῇς, οὐ καμφθήσομαι. παραίτησις γὰρ οἶμαι μόνοις τοῖς ἀναξίοις ἁρμόδιος. σὺ δὲ πάσης ἀξίας ἐπέκεινα. κάμπτεται τούτοις ὁ γέρων, καὶ οὐδὲν περαιτέρω περὶ παραιτήσεως τοῖς πρὸς τὸν βασιλέα λόγοις προθεὶς, ὑποστρέφει μὲν εἰς τὸ μοναστήριον, τὸν δὲ ἄνω Βασιλέα τῷ αὐτοῦ σκοπῷ εὑρίσκει συντρέχοντα. ἅμα γὰρ τῇ ὑποστροφῇ, νόσῳ μὲν καταβάλλεται, προεγνωκὼς δὲ τὸν θάνατον, ἐξιτήριον δῶρον ταῖς Βουλγάρων ἐκκλησίαις χαρίζεται, καὶ τὸ λεῖπον τῷ τριῳδίῳ προστίθησι. τὸ γὰρ ἀπὸ τῆς καινῆς κυριακῆς ἄχρι τῆς πεντηκοστῆς ψαλλόμενον τότε δὴ συνετέλεσε. καίτοι τεκμαίρεσθαι τοῖς ὀξυτέροις ἐντεῦθεν ἐστι, τίς ἂν εἴη ἐῤῥωμένος τὸ σῶμα, ὃς κἂν τῇ νόσῳ τοῖς πόνοις ἑαυτὸν κατέτρυχεν. ἀλλὰ γὰρ ἦν ὄντως ὁ ἔσω αὐτοῦ ἄνθρωπος τοσούτῳ μέτρῳ ἀνακαινούμενος, ὅσῳ περ ὁ ἔξω ἐφθείρετο. καὶ κατὰ Παῦλον εἶχε λέγειν, ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι. τί ἔτι; διατίθεται, καὶ τοῦτο γὰρ κανονικὸν, περίτε τῶν βιβλίων αὐτοῦ, ὧν ἐποίησε, καὶ τῆς ἄλλης αὐτοῦ περιουσίας, μᾶλλον δὲ τοῦ Θεοῦ ᾧ πάντα εἶχε, καὶ ὃν ἐπλούτει μόνον, τὸν καλὸν μαργαρίτην ὁ σοφὸς ἔμπορος, ὀλίγα τῶν ὀστρέων φροντίζων· καὶ τοίνυν πάντα διχῇ μερίσας, τὴν μὲν ἡμίσειαν τῇ ἐπισκοπῇ, θατέραν δὲ μοῖραν τῇ μονῇ καταλέλοιπε, δείξας πάντως κἀντεῦθεν ὅπως δὴ καὶ κτᾶσθαι, καὶ ὡς ἀμφότερα τῷ πρὸς Θεὸν νεύματι. ἐκεῖνος γὰρ τήν-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τε κτῆσιν ἐκ πιςῶν ἀρχόντων ϗ βασιλέως ἔσχεν, ὓς ὐκ ἔδει πάντως ἀποψυχραίνειν τῇ παρoράσει, ϗ μάλιςα πεφυκότας βαρβαρικώτερον. ἔδειξε δὲ καὶ ὁ κύριος, οἷς τὴν μυροφόρον ἐκείνην, ὐμόνον ὐ παρεῖδεν, ἀλλὰ καὶ προσαπεδέξατο, ϗ τῷ εὐαγγελίῳ ἐνέταξε. τήν τε ἀπόκτησιν εὐαγγελικῶς ϗ κανονικῶς, ϗ ὡς ὐκ ἦν ἄλλως ἐπαινετώτερον ἔθετο. ὕτως ὖν βιώσας, ϗ ὕτω κοσμήσας τὸν παρὰ Θεῦ δοθέντα θρόνον αὐτῷ, ϗ τέλος ἐπιθεὶς τῇ ἀρχῇ κατάλληλον, ϗ τὸν ὄροφον τῷ θεμελίῳ εὐφυῶς πρέποντα, πρὸς κύριον ἐξεδήμησε. τὸ δὲ θεῖον αὐτῦ σῶμα, ϗ τῇ ψυχῇ τὴν τιμὴν ἰσοςάσιον, ὅσιον, ὁσίως ὑμνολογηθέντε ϗ τιμηθὲν, τῆς μὲν ἀξίας καταδεέςερον, τῆς δυνάμεως δ᾽ ὖν ὅμως τῶν τιμώντων ὐκ ἐλλιπέςερον, τῷ ἐν τῇ μονῇ μνημείῳ ἐνετέθη, ὅπερ αὐτὸς οἰκείαις χερσὶ κατεσκεύασε, κατὰ τὸ δεξιὸν τῦ προνάυ μέρος, εἰκοςὴν ἑβδόμην τότε τῦ ἰυλίυ μηνὸς ἄγοντος, ἐν ἡμέραις Συμεὼν βασιλέως Βυλγαρίας, ἔτει ἑξακισχιλιοςῷ τετρακοσιοςῷ εἰκοςῷ τετάρτῳ. ἀλλ᾽ ὅμε διέλαθεν ὐ μικρὸν τῆς τῶν ἁγίων συμψυχίας τεκμήριον. πρὸ γὰρ τῆς αὐτῦ τελευτῆς εἶδον ἐν ὕπνοις τινὲς τῶν αὐτῦ μαθητῶν Κύριλλόντε ϗ Μεθόδιον προσελθόντας τῷ μακαρίῳ, ϗ τὴν τῦ βίου ἔξοδον αὐτῷ προσημαίνοντας. ἀλλ᾽ ὁ μὲν, ὕτως ἀφ᾽ ἡμῶν ἔδοξε γενέσθαι, ϗ τὸν βίον τῦτον λιπεῖν, ἡ χάρις δὲ ὐκ ἀπέπτη, ἀλλὰ ϗ ὁ χῦς τῦ διδασκάλυ ἔτι ϗ νῦν εὐεργεσίας τελεῖ, πᾶν πάθος ϗ πᾶσαν νόσον ἰώμενος. μαρτυρεῖ τοῖς λεγομένοις ὁ ξηρὸς ἐκεῖνος χεῖρας ϗ πόδας, ὃς τῆς θείας τελυμένης ἱερυργίας τῷ ναῷ προσελθὼν τὴν ἴασιν εὕρατο. ἠγνοεῖτο μὲν γὰρ τοῖς πολλοῖς ὅς τις εἴη, καὶ ὅθεν, ὡς δὲ τῇ θεραπείᾳ τὴν εὐχαριςίαν προσετίθει, καὶ πολὺς ἦν τὴν ἐξομολόγησιν, χεῖρας ἦρε τὰς ἰαθείσας, ϗ ταῖς βοαῖς ὀχληρὸς ἤδη τοῖς τῷ ναῷ παρευρεθεῖσι καθίςα-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θίστατο, ἐρωτᾶται τὴν τῆς εὐχαριστίας αἰτίαν, καὶ πάντα καταλέγει, εἶναι μὲν τῆς Ἀχρίδος καὶ αὐτός, πολυετῆ δὲ τὴν ἐν τῇ νόσῳ ταύτῃ δυστυχεῖν κάκωσιν. ἀμηχανίᾳ γοῦν οὐδὲν ἧττον ἢ τῇ νόσῳ κρατούμενος, ἐπὶ νοῦν βαλέσθαι τὴν τοῦ ἁγίου τάφου προσκύνησιν, εἴπως ὁ πάντα ἰσχύων ἐν Χριστῷ Κλήμης, παράκλησις αὐτῷ γένοιτο. συρόμενος οὖν χερσί τε καὶ ποσί, τῷ τοῦ ὁσίου προσελθεῖν μνήματι, εἶτα ἐν ἐκστάσει γενέσθαι, καί τινα γηραιὸν ἰδεῖν τῶν τριχῶν αὐτοῦ ἁψάμενον καὶ ἀναστῆναι διακελεύοντα, καὶ ἅμα τῷ λόγῳ, κρότον τῷ σώματι ἐπιγίνεσθαι, οἷον συγκρουομένων ὀστῶν, ἐῴκεσαν δὲ ἄρα συναρθροῦσθαι τὰ μέλη καὶ ἁπλοῦσθαι τὰ νεῦρα πρὸς κίνησιν. εἶτα ἐν ἑαυτῷ γενόμενος, ὑγιὴς εἶναι, οὐκ ἔτι χεῖρας ξηρός, οὐκ ἔτι πόδας ξηρός, οὐκ ἔτι πήρωμα φύσεως, καὶ νῦν αἴρω χεῖρας πρὸς τὸν ταύτας ἐκτείναντα καὶ ἐπὶ τοὺς πόδας μου ἵσταμαι. ταῦτα εἶπεν ὁ πρῴην ἐξηραμμένος, πηγάζων ἐκ βαθέων καρδίας ἐξομολογήσεως ῥήματα, καὶ συμφωνοῦντας εἶχε τοὺς παρεστῶτας καὶ λόγοις εὐχαριστηρίοις τὸν ὅσιον μεγαλύνοντας. καὶ τί με δεῖ τάδε καὶ τάδε καταριθμεῖσθαι; τίς ἀγνοεῖ πόσοις μὲν δαιμονῶσι, πόσοις δὲ ἄλλως κακουμένοις ἀπαλλαγὴν τῶν ἐνοχλούντων κακῶν δεδώρηται, ἢ τῷ τάφῳ προσελθοῦσιν, ἢ ἐπικαλεσαμένοις τὸ ὄνομα μόνον, καὶ τὴν πίστιν ἔχουσι μεθ᾽ ἑαυτῶν, τὴν δραστήριον ὄντως διάκονον; διὰ τοῦτο καὶ πᾶσα Βουλγάρων ἡλικία τῆς τοῦ ἁγίου χάριτος ἀπολαύοντες, οὐκ ἔστιν εἰπεῖν ὅσην τὴν ἐπὶ τῇ τιμῇ σπουδὴν ἐπιδείκνυνται, ἕκαστος τὸ κατὰ δύναμιν συνάγοντες.

Ἀλλ᾽ ὦ θεία καὶ ἱερὰ κεφαλή, ἐφ᾽ ᾗ τὸ Πνεῦμα τὴν καθέδραν ἐπήξατο. ὦ φωστὴρ οὐχ ἡμέρας μόνης ἄρχων, οὐδὲ μόνης νυκτός, ἀλλὰ καὶ νυκτὸς καὶ ἡμέρας καταφωτίζων ἡμᾶς ταῖς χάρισιν. εἴτε πειρασμοῖς προσπαλαίοντες οἷόν τινα νύκτα

τὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν τῶν πειρασμῶν ζόφον ἔχομεν, εἴτε ἀνέσεως ἀπολαύοντες, ὥςπέρ τινι φωτὶ φαιδρυνόμεθα. ἐν ἀμφοτέροις γὰρ τοῖς καιροῖς τῶν σῶν χαρίτων καταξιούμεθα. ὦ σάλπιγξ δι᾽ ἧς ἡμῖν ἐσάλπισεν ὁ Παράκλητος. ὦ ποιμὴν ὁ καλὸς ὁ θεὶς ὑπὲρ ἡμῶν τῶν σῶν προβάτων τὴν ἁγίαν ψυχήν, καὶ διὰ πολλῶν ἱδρώτων καταρτίσας Θεῷ τὸ ποίμνιον, εἰς τόπον χλόης κατασκηνώσας ἡμᾶς, τὰς διὰ τῆς σῆς γλώττης ἑρμηνευθείσας γραφάς, καὶ ἐφ᾽ ὕδατος ἀναπαύσεως ἐκθρέψας τοῦ θείου βαπτίσματος, καὶ ἐπὶ τρίβους ὁδηγήσας δικαιοσύνης, τὴν ἐργασίαν τῆς ἀρετῆς. διὰ σοῦ γὰρ πᾶσα τῆς Βουλγαρίας χώρα Θεὸν ἐπέγνωσαν, τὰς ἐκκλησίας αὐτὸς τοῖς ὕμνοις καὶ ταῖς ψαλμῳδίαις ἐπύκνωσας, τὰς ἑορτὰς τοῖς ἀναγνώσμασι κατεφαίδρυνας, μονασαὶ διὰ σοῦ βίοις πατέρων ὁδηγοῦνται πρὸς ἄσκησιν, ἱερεῖς διὰ σοῦ τὸ κανονικῶς ζῆν παιδεύονται. ὦ ἐπίγειε ἄγγελε καὶ οὐράνιε ἄνθρωπε. ὦ ἐλαία τῆς τῷ προφήτῃ προορισθείσης μὴ λειπομένη μηδὲ μικρὸν, ὅτι καὶ μᾶλλον ὡς πλείονας υἱοὺς πιότητος προενέγκασα. ὦ τυφλῶν ὁδηγέ. ὁποτέραν τις λογίσαιτο τυφλότητάτε καὶ ὁδηγίαν. ὦ κυρίῳ κατασκευάσας λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων, ὧν ἐν σοὶ ἔβλεπον. ἀλλ᾽ ἔτι καὶ ἔτι ἐποπτεύοις τὴν σὴν κληρονομίαν. πάντως πλείω καὶ μείζω νῦν ἰσχύεις, ἢ πάλαι ὢν ἐν τῷ σώματι, καὶ τὴν πονηρὰν ἀπελαύνοις αἵρεσιν, ἢ τῷ σῷ ποιμνίῳ νόσος λοιμώδης παρεισεφθάρη, μετὰ τὴν σὴν πάντως ἐν Χριστῷ κοίμησιν, μὴ διασπείρῃ καὶ διαφθείρῃ τὰ τῆς νομῆς πρόβατα, ἣν στήσαις ἅγιε ποιμὴν καὶ χρηστότατε. τηροίης δὲ καὶ βαρβαρικῶν ἐπιδρομῶν ἀπειράτους τοὺς σοὺς τροφίμους ἡμᾶς, καὶ πάντοτε μὲν ἐφορῶν, μάλιστα δὲ νῦν, ὅτε θλίψις ἐγγύς, ὅτε οὐκ ἔστιν ὁ βοηθῶν, ὅτε σκυθικὴ μάχαιρα Βουλγαρικῶν αἱμάτων ἐμέθυσεν, ὅτε

χει-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χεῖρες ἀθέων τὰ θνησιμαῖα τῶν νέων τέκνων τοῖς πετεινοῖς τοῦ οὐρανοῦ ἐξέθεντο βρώματα, ἃς θραύσαις τῇ δεξιᾷ χειρὶ τοῦ ὑπὸ σοῦ θεραπευθέντος Θεοῦ, εἰρήνην τῷ σῷ λαῷ χαριζόμενος, ἵνα σοὶ καὶ τὰς ἑορτὰς ἱστῶμεν ἐν πάσῃ ἀγαλλιάσει, Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα διὰ σοῦ δοξάζοντες τὸν ἕνα Θεὸν, ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ. ..........................

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ